Rostocker Dokumentenserver
Dieses Werk wurde Ihnen durch die Universitätsbibliothek Rostock zum Download bereitgestellt.
Für Fragen und Hinweise wenden Sie sich bitte an: digibib.ub@uni-rostock.de

Pindarus

Pindari Vatis Vt Vetvstissimi, ita & sapientissimi Olympia. In gratiam Graecae sapientiae studiosorum seorsim emendatè edita. Cum praefatione Iohannis Posselii

Rostochii: Myliander, 1586

http://purl.uni-rostock.de/rosdok/ppn1010349678

Druck Freier Zugang PUBLIC DOMAIN



Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn1010349678/phys_0001

O. HÜNEMÖRDER
UNIVERSITÄTS-
BUCHBINDEREI
ROSTOCK
Grüner Weg 5

bc- 914 1-7

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn1010349678/phys_0002

Bibliotheca Academiae Rostochiensis

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn1010349678/phys_0003

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn1010349678/phys_0004

Ἐκ τῆς Ξενοφῶντος πρὸς Σώτειραν ἐπιστολῆς. Ex Epist: Xenoph: ad Sotiram.

Ἐμοὶ δὲ δοκεῖ, ὦ Σώτειρα, οὔτε ὁ θάνατος αἰσχρὸν, οὔτε τι καλὸν εἶναι. ὅρος δὲ ζωῆς, οὐχ εἷς πάντων, ἀνιβάριθμον ἐτῶν φέρων τὸ μὴ οἴμιον τῆς γενέσεως τῇ ἰσχύϊ ἢ ἀρρωστίᾳ. Ἐμὼ δὲ πρόφασιν τότε μὲν αἰσχρὰν οὖσαν, ἐφελκεσθαι θάνατον, οὔπω ἢ καλλὼ καὶ πρεπώδη.

Mihi a. mors ipsa o Sotira, neq turpis neq honesta esse videtur. Terminus a. vitae non omnibus idem est, quum firmitas & imbecillitas virium a prima natiuitate dissimilis inaequalem annorum aetatem efficiat. Causa v. aliquando turpis, aliquando honesta & decora mortem promouet.

Ἀλλ' οὔτε ἐπὶ θανάτῳ προβήκει τοσοῦτο πένθος εὐρέσθαι, ἐπισταμένῳ ὅτι ὁδοῦ ἀνθρωπίνης χρὴ νομίζειν ἀρχὴν μὲν γένεσιν, τέλος δὲ θάνατον. Μακάριος οὖν ὅστις οὐ τὸ μήκιστον ἑλόμενος τοῦ βίου, τὸ δὲ μετὰ ἀρετῆς, ἐκ καὶ εἰ βραχὺν οἱ ἔδωκεν αἰῶνα ὁ θεός.

Non decet tanto luctu prosequi mortem, quum scias principium humanae viae ortum, finem a. mortem existimandam esse. Beatus Tpe quicunq non longissimam, sed virtuti coniunctam eligit vitam: etsi breue tempus aetatis Deus ei concesserit.

Carmen breue, in quo septem sapientum Graecorum tereta illa & compositissima praecepta leguntur, quod Graece sic sonat.

Ἑπτὰ Σοφῶν ἐρέω κατ' ἔπος πόλιν, οὔνομα, φωνὴν.
Μέτρον μὲν Κλεοβοῦλος ὁ Λίνδιος εἶπεν ἄριστον.
Χίλων δ' ἐν κοίλῃ Λακεδαίμονι, Γνῶθι σεαυτὸν,
Ὃς δὲ Κορινθὸν ἔναιε, Χολοῦ κρατεῖν Περίανδρος.
Πίττακος, οὐδὲν ἄγαν, ὃς ἔην γένος ἐκ Μιτυλήνης.
Τέρμα δ' ὁρᾶν βιότοιο, Σόλων ἔρηβεν Ἀθήναις.
Τοὺς πλέονας κακίους δὲ, βίας ἀπέφηνε Πριηνεύς.
Ἐγγυὴν φεύγειν δὲ, Θάλης Μιλήσιος ἠῦδα.

Verba loquor septem sapientum, nomen, & urbem,
Optima mensura est, Cleobulus Lindius infit.
Inque caua Chilon temet Lacedaemone Nosce.
Et Periander agens, irae moderare Corinthi.
Nil nimis est genitus qui Pittacus ex Mitylene.
Cerne Solon vitae fibrem sacris in Athenis.
Turba Bias genitus canit ampla Priene malorum.
Miletoque Thales ortus, Vadimonia linque.

alya

1) Καθημ. κτλ.
2) Gregorii Nazianzeni carmi nacti Basilii M. oratio, sentent. ed. Tarnov.
3) Φαλαρεδος επιστολαι ..
4) Demetrii Phaler. de elocutione ed. Joh. Caselius
5) Pindari Olympia ed. Posselius
6) Sophoclis Ajax ed. idem
7) libellus Aristotelis de memoria

PINDARI
VATIS VT VETVSTISSIMI, ita & sapientissimi

OLYMPIA.

In gratiam Græcæ sapientiæ studiosorum seorsim emendatè edita.

Cum præfatione
IOHANNIS POSSELII.

ROSTOCHII
Typis Stephani Myliandri.
ANNO
CIↃ IↃ XXCVI.

5
1586
Cc-914


Ex
Bibliotheca
Academiae
Rostochiensis

DOCTO ET PIO VIRO, IOHANNI NICOLAI Almapolensi, Scholæ Othoniensis Rectori,

IOHANNES POSSELIVS. S. D.

Singulari Dei beneficio accidisse statuendum est, quod cum multa veterum Autorum præclara scripta partim bellis & vrbium direptionibus, partim hominum malitia & extremo in bonas literas odio, partim alijs tristibus humanarum miseriarum casibus, magno cum Reipub. literariæ incommodo, deleta sint & interierint, tamen cum alia nonnulla, tum Pindari Vatis vt vetustissimi, ita

& castissimi & sapientissimi, monumenta ab interitu vindicata & huc usq; conseruata sunt. Nam hic Poeta non solum de prouidentia, de pietate erga Deum, de iustorum præmiis et protectione, de sceleratorum pœnis præsentibus & æternis, de colenda modestia in rebus secundis, de inuidia semper comitante excellentem virtutem & præstantem florentemq; fortunã, de inconstantia fortunæ, & similibus rebus, quæ omnibus hominibus, cuiuscunq; conditionis & ætatis illi sint, vsui & voluptati esse possunt, piè, grauiter & sapienter concionatur: sed etiam multas

Histo-

Historias, à nemine similiter recitatas, literis prodidit, easq; tum ingeniosis figmentis Poëticis, tum χώμοις vtilissimis maximeq; memorabilibus illustrauit.

Quam horribilis est pictura Ixionis, hominis impuri, libidinosi, ingrati & homicidæ, quem Pindarus ait, apud inferos in rota iacentem, incessabili voce clamare, & omnes homines ad pietatem & gratitudinem erga Deum his verbis hortari,

Discite iustitiam moniti & non temnere diuos.

Sic narrat Troiam propter Helenæ raptum funditus deletam: & Thœbas propter incestas Oedipi cum

pi cum matre locaste nuptias, duriter obsidione pressas esse, cum prius Eteocles & Polynices fratres, ex nefando matris et filij concubitu nati, mutuis vulneribus concidissent, & mater interueniens, ex filij cadauere ense extracto, & in pectus infixo, sibi mortem conscisuisset.

Scribit etiam Pegasum, equum alatum & indomitum, non potuisse domari, antequam Pallas aureum frenum Bellerophonti obtulisset, quo iniecto equus ferox & indomitus cicuratus sit. Hoc frenum aureum significat rationem & moderationem philoso-

phi-

phicam motuum cordis, qui extra metas erumpunt, nisi consilio & doctrina regantur. Similis narratio proponitur in Argonautarum historia de aureo Vellere, cui Draco flammas spirans, custos adiunctus fuit. Scribunt enim hunc Draconem insomnem consopiri non potuisse, nisi pharmaco ex Promethei cruore ingeniosè confecto, & Iasoni à Medea dato. eo enim hausto Draco consopitus est, & facilem aditum Argonautis ad rapiendum Aureum vellus præbuit. Est autem Draco ignem spirans imago illius partis animæ, in qua irarum & alia-

rum prauarum cupiditatum ardor existit. Medea autem pharmacum, est recta ratio & consilium, quo errantes flammæ irarum ac turbidorum affectuum extinguuntur. Et hæc quidem moderatio patefacit nobis aditum ad Sapientiam, quæ verè Aureum Vellus est.

Quam venusta est imago hominis magnis successibus elati, & spiritus altos gerentis, ac immoderata cupiditate animiq; elatione non necessaria mouentis, Bellerophon ille, Glauci regis Ephyræ filius, quem scribit Pindarus post multas res feliciter gestas, cum Pega-

Pegaso equo alato in cœlũ volare tentasse, vt Iouis collega fieret; sed à Ioue, eam temeritatem et superbiã molestissimè ferente, deturbatũ, ab equo excussum, et cum ignominia et dedecore in terram deiectum, ac mœrore extinctũ esse. Sed non est huius loci omnia, quæ in Pindaro σεμνὰ, χαριέστατα, μυστικώτατα, & μελικώτατα, θειότατά τε καὶ μεγαλοφρονώτατα (vt Athenæi vertar vtar) extant, commemorare.

Neq; verò de nihilo est, quod scribitur, apes cum in cunis adhuc esset Pindarus, in ore eius tanquam in alueari, mella & fauos deposuisse: quod & Platoni ac diuo Am-

uò Ambrosio contigisse, & diuina cuiusdam sapientiæ & suauitatis seu εὐεπείας præsagium esse, semper existimatum est. Accedit eòdem praclarum grauissimi Autoris Quintiliani elogium, qui libro 10. cap. 1. inquit: Nouem verò Lyricorum longè Pindarus princeps, spiritus magnificentia, sententiis, figuris, beatissima rerum verborumq; copia, & velut quodam eloquentiæ flumine &c.

Hunc igitur Vatem, quem tanti veneranda antiquitas fecit, vt eum magistrum & doctorem omnis honestatis & probitatis castissimum & probatissimum appella-

pellauerit, studiosi adolescentes, cum propter cognitionem Græcæ Linguæ, tum propter res amplissimas & cognitione dignas, amare, magnifacere, diligenter legere & cognoscere debent. idq; quò commodius facere possint, ego iam Olympia seorsim correctè excudenda curaui, paulo post Deo iuuante, vt Pythia, Nemea & Isthmia eodem modo prodeant, curaturus.

Causa autem cur huic Præfationi tuum nomen Ornatissime Iohannes Nicolae asscripserim, non hæc tantum est, quod scio te Græcæ sapientiæ studio valde delectari, & eiusmodi autores libenter legere

gere, sed etiam vt publicè ostendam, me tui memoriam cum beneuolentia retinere, & non sine voluptate modestiæ tuæ in regenda vita ac moribus, & diligentiæ in studijs, quorum vtrumq; nobis hîc probasti, recordari. Accipies igitur hæc ΟΛΥΜΠΙΑ Pindari tanquam pignus mei in te amoris, & hanc significationem mei erga te studij boni consules. Bene et feliciter vale. Rostochij. Id. Septemb. Anno 1586.

DE

DE LAVDIBVS PINDARI Lyrici poëtæ, ex lib. 4. Carminum Horatij.

Pindarum quisquis studet æmulari,
Iule, ceratis ope Dædalea
Nititur pennis, vitreo daturus
Nomina ponto.
Monte decurrens velut amnis, imbres
Quem super notas aluêre ripas,
Feruet immensusq; ruit profundo
Pindarus ore,
Laurea donandus Apollinari,
Seu per audaceis noua dithyrambos
Verba deuoluit, numerisq; fertur
Lege solutis:
Seu deos, regesq; canit, deorum
Sanguinem per quos cecidere iustæ
Morte Centauri, cecidit tremendæ
Flamma Chimæræ.
Siue, quos Elea domum reducit
Palma cœlestis, pugilemue, equumue,
Dicit & centum potiore signis
Munere do[illegible]t:

Flebili

Flebili ſponſæ iuuenemue raptum
Plorat: & vireis, animumq́; , moresq́;
Aureos deducit in aſtra, nigroq́;
Inuidet Orco.
Multa Dyrcæum leuat aura cygnum,
Tendit Antoni quoties in altos
Nubium tractus: ego apis Matinæ
More, modoq́;
Grata carpentis thyma per laborem
Plurimum, circa nemus, uuidiq́;
Tyburis ripas operoſa paruus
Carmina fingo.

IN PINDARVM PHILIPPVS MELANCHTHON.

Pindarum quiſquis volet explicare,
Ille ceratis ope Dædalea
Nititur pennis, vitreo daturus
Nomina ponto.
Forſan his verbis aliquis monebit,
Vt relinquamus tenebras vetuſti
Vatis, ad Dircen ſua qui ſonabat
Carmina fontem.

Multa

Multa sunt quamuis satis inuoluta,
Delphicæ sortes veluti fuerunt:
Sunt tamen rursus quoq; planiora
Plurima membra.
Quæ canunt regum memoranda facta
Literis nullis alijs relata,
Et regunt mores hominum sequaces
Laude bonorum.
Cum duces Græci petiere Colchos,
Phasidos ripis legerent vt aurum,
Narrat Alciden agitasse remos
Lege coactum.
Sic docet summis etiam deorum
Filijs legum patienda vincla.
Legibus vires, & opes superbas
Cedere iustum est.
Bella Titanum recitans nefanda,
Arma qui contra superos tulerunt,
Impios fato simili perire
Præmonet omnes.
Ergo virtutis, sapientiæq;
Musa doctrinam quia tradit isto
Pindari scripto, iuuenes modesti, hunc
Noscite vatem.

ΠΕΡΙ ΤΩΝ ΣΤΡΟ-
φῶν, ἀντιστροφῶν τε καὶ ἐπῳδῶν.

Ἐπειδὴ λυρικός ἐστιν ὁ Πίνδαρος, καὶ πρὸς λύραν ᾄδον τὰ ποιήματα αὐτοῦ τριάδας, στροφὴν, ἀντιστροφὴν, καὶ ἐπῳδὸν· καὶ ἐκ κώλων τὰ μέλη συνίστανται, πλὴν καὶ ὅσων καὶ ὁποίων ἡ στροφὴ, ἐκ τοσούτων καὶ τοιούτων καὶ ἡ ἀντίστροφος. ἡ δὲ ἐπῳδὸς ἀνόμοιός ἐστι πρὸς αὐτὰς· καὶ εἰκώτως· ἐπεὶ κινουμένοις εἰς τὰ δεξιὰ τοῖς χορευταῖς ᾔδετο ἡ στροφὴ, εἰς δὲ τὰ ἀριστερὰ ἐκ τῶν δεξιῶν ἡ ἀντίστροφος· ἡ δὲ ἔπῳδος ἱσταμένοις διεβιβάζετο, εἰς εἰκόνα τῆς τε τοῦ παντὸς κινήσεως ἀπὸ ἀνατολῶν εἰς δυσμὰς, τῆς τε τῶν πλανήτων κινήσεως ἀπὸ δύσεως εἰς ἀνατολὰς, καὶ τῆς γῆς ἀκινησίας. καὶ οὕτω μὲν ἡ τριαδικὴ μελοποιΐα κατὰ τὰς στροφὰς καὶ ἀντιστρόφους, καὶ τὰς ἐπῳδοὺς. ταῦτα δὲ ἐκ κώλων συνίστανται· τὰ δὲ κῶλα μέτρον διάφορον ἔχουσιν ἐκ ποδῶν συνιστάμενον.

ΠΙΝΔΑ-

ΠΙΝΔΑΡΟΥ

ΟΛΥΜΠΙΑ.

ΙΕΡΩΝΙ ΣΙΡΑΚΟΥΣΙΩ, ΚΕΛΗΤΙ.

ΕΙΔΟΣ Α.

στροφὴ α. κώλων ιζ.

Ἄριστον μὲν ὕδωρ, ὁ δὲ χρυσὸς, αἰθόμενον πῦρ ἀτε διαπρέπει νυκτὶ, μεγάνορος ἐξοχα πλούτου.
εἰ δὲ ἄεθλα γαρύειν ἐλδεαι φίλον ἦτορ, μηκέθ' ἁλίου σκόπει ἄλλο θαλπνότερον ἐν ἁμέρᾳ φαεινὸν ἄστρον ἐρήμας δι' αἰθέρος. μήδ' ὀλυμπίας ἀγῶνα φέρτερον αὐδάσομεν. ὅθεν ὁ πολύφατος

ὕμνῳ ἀμφιβάλλεται
σοφῶν μητίεσι, κελαδεῖν
Κρόνου παῖδ', ὃν ἀφνεὰν ἱκομένους
μάκαιραν Ἱέρωνα ἑστίαν.

ἀντιστρ. κώ. ιζ.

Θεμιστεῖον ἐς ἀμφέπει
σκᾶπτον ἐν πολυμάλῳ
Σικελίᾳ, φρένων μὲν
κορυφαῖς ἀρεταῖν ἀπὸ πασᾶν·
ἀγλαΐζεται δὲ καὶ
μουσικᾶς ἐν ἀώτῳ,
οἵα παίζομεν φίλαν
ἄνδρες ἀμφὶ θαμὰ
τράπεζαν· ἀλλὰ δωρέαν ἀ-
πὸ Φόρμιγγος παταίλου
λάμβαν', εἴ τι τοι Πίσας τε
καὶ Φερενίκου χάρις
νόον ἵκετο γλυκυπά-
ταις ἔθηκε Φροντίσιν·
ὅτε παῖς Ἀλφεῷ σύν, δέμας
ἀκέντητον ἐν δρόμοισι παρέχων,

κραί-

κράτει δὲ προσέμιξε δεσπόταν,

ἐπω. κώ. ιγ.

συρακούσιον, ἱπποχάρμαν
βασιλῆα. λάμπει
δέ οἱ κλέος παρ' εὐάνορι λυδοῦ
Πέλοπος ἀποικίᾳ. τοῦ μεγασθενὴς
ἐράσσατο γαιάοχος Ποσειδῶν,
ἐπεί νιν καθαροῦ λέβητος ἔξελεν
κλωθὼ, ἐλέφαντι φαίδιμον
ὦμον κεκαδμένον.
ἦ θαῦμα τὰ πολλὰ. »
καίπουτι καὶ βροτῶν φρένα, »
ὑπὲρ τὸν ἀληθῆ λόγον, »
δεδαιδαλμένοι ψεύδεσι ποικίλοις »
ἐξαπατῶντι μύθοι. »

στρο. β. κώ. ιζ.

χάρις δ' ἅπερ ἅπαντα τεύ- »
χει τὰ μείλιχα θνατοῖς, »
ἐπιφέροισα τιμὰν, »
καὶ ἄπιστον ἐμήσατο πιστὸν »
ἔμμεναι τὸ πολλάκις. »

» ἀμέραι δ' ἐπίλοιποι,
» μάρτυρες σοφώτατοι.
» ἔστι δ' ἀνδρὶ φάμεν
» ἐοικὸς ἀμφὶ δαιμόνων κα-
λά. μείων δ' αἰτία.
ἰὲ Ταντάλου, σέ δ' ἀντί-
α ποτέρων φθέγξομαι.
ὅπότ' ἐκάλεσε πα-
τὴρ τὸν εὐνομώτατον,
ὃν ἔρανον, φίλαν τε Σίπυλον,
ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων,
τότ' ἀγλαοτρίαιναν ἁρπάσαι,

ἀντ. κώ. ιζ.

δαμάσσαι φρένας ἱμέρῳ,
χρυσέαισιν ἀν' ἵπποις,
ὕπατον Ὀρυτίμου
ποτὶ δῶμα διὸς μεταβᾶσαι.
ἔνθα δευτέρῳ χρόνῳ
ἦλθε καὶ Γανυμήδης
Ζηνὶ τωὐτό· ἀπὸ χρέος.
ὡς δὲ ἄφαντος ἔπε-

λες,

λες, οὐδὲ ματρὶ πολλὰ μαιό-
μενοι φῶτες ἄγαγον,
ἔννεπε κρυφᾷ τις αὐτί-
κα φθονερῶν γειτόνων,
ὕδατος ὅτι τε πυ-
ρὶ ζέοισαν ἀμφ' ἀκμὰν
μαχαίρᾳ τάμον κατὰ μέλη,
τραπέζαισίτ' ἀμφιδεύτατα κρεῶν
σέθεν διεδάσαντο, καὶ φάγον.

ἐπω. κώ. ιγ.

ἐμοὶ δ' ἄπορα γαστρίμαργον
μακάρων τίν' εἰπεῖν.
ἀφίσταμαι. ἀκέρδεια λέλογχε ,,
θαμινὰ κακαγόρως. εἰ δὲ δήτιν' ἄν- ,,
δρα θνατὸν ὀλύμπου σκοποὶ ἐτίμα-
σαν, ἦν Τάνταλος οὗτος. ἀλλὰ γὰρ κατα-
πέψαι μέγαν ὄλβον οὐκ ἐδυ-
νάσθη. κόρῳ δ' ἕλεν
ἄταν ὑπέροπλον,
τάν οἱ πατὴρ ὑπερκρέμα-
σε, καρτερὸν αὐτῷ λίθον.

ἀντι. κώ. ιζ.

Πισάτα παρὰ πατρὸς εὔ-
δοξον Ιπποδάμειαν
σχεθέμεν. ἄγχι δ' ἐλθὼν
πολιᾶς ἁλὸς οἶος ἐν ὄρφνᾳ,
ἄπυεν βαρύκτυπον
εὐτρίαιναν. ὁ δ' αὐτῷ
παρ' ποσὶ σχεδὸν φάνη·
τῷ μὲν εἶπε, φίλι-
α δῶρα Κυπρίας ἄγ' εἴτι
Ποσείδαον ἐς χάριν
τέλλεται, πέδασον ἔγχος
Οἰνομάου χάλκεον,
ἐμὲ δ' ἐπὶ ταχυτά-
των πόρευσον ἁρμάτων
ἐς Αλιν, κράτει δὲ πέλασον·
ἐπεὶ τρεῖς γε καὶ δεκ' ἄνδρας ὀλέσας
ἐρῶντας, ἀναβάλλεται γάμον

ἐπω. κώ. ιγ.

„ θυγατρός. ὁ μέγας δὲ κίνδυ-
„ νος ἄναλκιν οὐ φῶ-

τα λαμ-

τὸν αἰεὶ μενοινῶν κεφαλᾶς βαλεῖν,
εὐφροσύνας ἀλᾶται.

στρο. γ. κώ. ιζ.

ἔχει δ' ἀπάλαμον βίον
τοῦτον, ἐμπεδόμοχθον,
μετὰ τριῶν τέταρτον
πόνον, ἀθανάτων ὅτι κλέψας
ἁλίκεσσι συμπόταις
νέκταρ ἀμβροσίαν τε
δῶκεν, οἷσιν ἄφθιτον
θέσσαν. εἰ δὲ θεὸν
ἀνήρ τις ἐλπεταί τι λαθέ-
μεν ἔρδων, ἁμαρτάνει.
τοὔνεκα προῆκαν υἱὸν
ἀθάνατοι οἱ πάλιν
μετὰ τὸ ταχύποτμον
αὖθις ἀνέρων ἔθνος.
πρὸς εὐάνθεμον δ', ὅτε φυὰν
λάχναι νιν μέλαν γένειον ἔρεφον,
ἕτοιμον ἀνεφρόντισεν γάμον.

ἀντι.

" τα λαμβάνει. θανεῖν δ' οἷσιν ἀνάγκα,
" τί κέ τις ἀνώνυμον γῆρας ἐν σκότῳ
" καθήμενος ἕψοι μάταν, ἁπάντων
" καλῶν ἀμμορος; ἀλλὰ ἐμοὶ μὲν ὑποσὶ
ἆθλος γ' ὑποκείσεται. τὺ δὲ
πρᾶξιν φίλαν δίδοι.
ὡς ἔννεπεν· οὐδ' ἀ-
κράντοις ἐφάψατ' ὧν ἔπεσ-
σι. τὸν μὲν ἀγάλλων θεὸς,
ἔδωκεν δίφρον χρύσεον. ἐν πτεροῖ-
σίν τ' ἀκάμαντας ἵππους.

στρο. δ. κώ. ιζ.

ἕλεν δ' Οἰνομάου βίαν,
παρθένον τε σύνευνον.
ἃ τέκε λαγέτας ἕξ,
ἀρεταῖσι μεμαλότας υἱοὺς.
νῦν δ' ἐν αἱμακουρίαις
ἀγλααῖσι μέμικται,
Αλφεοῦ πόρῳ κλιθεὶς,
τύμβον ἀμφίπολον
ἔχων πολυξενωτάτῳ πα-

ρὰ βωμῷ. τὸ δὲ κλέος
τηλόθεν δέδορκε τᾶν ὀ-
λυμπιάδων, ἐν δρόμοις
Πέλοπος. ἵνα ταχυ-
τὰς ποδῶν ἐρίζεται,
ἀκμαίτ' ἰσχύος θρασύπονοι.
ὁ νικῶν δὲ, λοιπὸν ἀμφὶ βιότον
ἔχει μελιτόεσσαν εὐδίαν.

ἀντι. κώ. ιζ.

ἀέθλων γ' ἕνεκεν. τὸ δ' ἀ-
εὶ παράμερον ἐσλὸν,
ὕπατον ἔρχεται παν-
τὶ βροτῷ. ἐμὲ δὲ στεφανῶσαι
κεῖνον, ἱππικῷ νόμῳ
αἰολήϊδι μολπᾷ
χρή. πέποιθα δὲ ξένον
μή τίν' ἀμφότερα
καλῶν τε ἴδριν ἄλλον καὶ δύ-
ναμιν κυριώτερον,
τῶν γε νῦν, κλυταῖσι δαιδα-
λωσέμεν ὕμνων πτυχαῖς.

θεὸς ἐπιτροπος ἐ-
ὼν, τεαῖσι μήδεται
ἔχων τοῦτο κῆδος Ιέρων
μερίμναισιν. εἰ δὲ μὴ ταχὺ λίποι,
ἔτι γλυκυτέραν κεν ἔλπομαι

ἐπω. κώ. ιγ.

σὺν ἅρματι θοῷ κλεΐζειν,
ἐπίκουρον εὑρὼν
ὁδὸν λόγων, παρ' εὐδείελον ἐλθὼν
Κρόνιον. ἐμοὶ μὲν ὦν μοῖσα καρτερώ-
τατον βέλος ἀλκᾷ τρέφει. ἐπ' ἄλλοι-
σι δ' ἄλλοι μεγάλοι. τὸ δ' ἔσχατον κορυ-
φοῦται βασιλεῦσι. μηκέτι
πάπταινε πόρσιον.
εἰή σέ τε τοῦτον
ὑψοῦ χρόνον πατεῖν, ἐμέ
τε τοσσάδε νικαφόροις
ὁμιλεῖν, πρόφαντον σοφίαν καθ' ἕλ-
λανας ἐόντα παντᾶ.

ΘΗΡΩ-

ΕΙΔ. Α.

ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩ, ΑΡΜΑΤΙ.

ΕΙΔΟΣ Β.

στρο. α. κώ. ιδ.

Ἀναξιφόρμιγγες ὕμνοι,
τίνα θεὸν, τίν' ἥρωα,
τίνα δ' ἄνδρα κελαδήσομεν;
ἤτοι Πίσα μὲν Διός.
Ολυμπιάδα δ' ἔστασεν Ηρακλέης,
ἀκρόθινα πολέμου.
Θήρωνα δὲ τετραορίας
ἕνεκα νικαφόρου
γεγωνητέον ὀπὶ,
δίκαιον ξένον,
ἔρεισμ' Ακράγαντος,
εὐωνύμων τε πατέρων
ἄωτον, ὀρθόπολιν.

ἀντι.

ἀντι. κώ. ιδ.

καμόντες οἳ πολλὰ θυμῷ,
ἱερὸν ἔσχον οἴκημα
ποταμοῦ, Σικελίας τ' ἔσαν
ὀφθαλμός. αἰών τ' ἔφε-
πε μόρσιμος, πλοῦτόν
τε καὶ χάριν ἄγων,
γνησίαις ἐπ' ἀρεταῖς.
ἀλλ' ὦ Κρόνιε παῖ Ρέας,
ἕδος ὀλύμπου νέμων,
ἀέθλων τε κορυφὰν,
πόρον τ' Αλφεοῦ,
ἰανθεὶς ἀοιδαῖς,
εὔφρων ἄρουραν ἔτι πα-
τρίαν σφίσιν κόμισον.

ἐπωδώς, κώ. η.

» λοιπῷ γένει. τῶν δὲ πεπραγμένων
» ἐν δίκᾳ τε καὶ παρὰ δίκαν,
» ἀποίητον οὐδ' ἂν
» χρόνος ὁ πάντων πατὴρ
» δυνάιτο θέμεν ἔργων τέλος·

λάθα

λάθα δὲ πότμῳ ζῶν εὐδαίμονι γένοιτ' ἄν. „
ἐσλῶν γὰρ ὑπὸ χαρμάτων „
πῆμα θνάσκει παλίγκοτον δαμασθὲν, „

στροφὴ β. κώ. ιδ.

ὅταν θεοῦ μοῖρα πέμπῃ „
ἀνεκὰς ὄλβον ὑψηλόν. „
ἕπεται δὲ λόγος εὐθρόνοις
Κάδμοιο κούραις, ἔπα-
θον αἳ μεγάλα. πένθος
δὲ πιτνεῖ βαρὺ „
κρεσσόνων πρὸς ἀγαθῶν. „
ζώει μὲν ἐν ὀλυμπίοις,
ἀποθανοῖσα βρόμῳ
κεραυνοῦ ταννέθει-
ρα Σεμέλα. φιλεῖ
δέ μιν Παλλὰς αἰεὶ,
καὶ Ζεὺς πατὴρ μάλα. φιλεῖ
δὲ παῖς ὁ κισσοφόρος.

ἀντιστροφὴ. κώ. ιδ.

λέγοντι δ' ἐν καὶ θαλάσσᾳ,
μετὰ κόραισι Νηρῆος

ἁλίαις

ἁλίαις, βίοτον ἄφθιτον
Ινοῖ τετάχθαι, τὸν ὅ-
» λον ἀμφὶ χρόνον. ἦτοι
» βροτῶν γε κέκριται
» πεῖρας οὔτι θανάτου,
» ὃς δ' ἀσύχιμον ἁμέραν
» ὁπότε παῖδ' ἁλίου
» ἀτειρεῖ σὺν ἀγαθῷ
» τελευτάσομεν.
» ῥοαὶ δ' ἄλλοτ' ἄλλαι
» εὐθυμιᾶν τε μέτα καὶ
» πόνων ἐς ἄνδρας ἔβαν.

ἐπωδὸς κώ. η.

οὕτω δὲ μοῖρ', ἅ τε πατρώϊον
τόν δ' ἔχει τὸν εὔφρονα πότμον
θέορτῳ σὺν ὄλβῳ,
ἐπί τι καὶ πῆμ' ἄγει
παλιντράπελον ἄλλῳ χρόνῳ,
ἐξ οὗπερ ἔκτεινε Λάϊον μόριμος υἱὸς
Συνάντομενος. ἐν δὲ Πυ-
θῶνι χρησθὲν παλαίφατον τέλεσσεν.

στρο-

στροφὴ γ. κώ. ιδ.

ἰδοῦσα δ' ὀξεῖ, Ερινὺς,
πέφνεν ἑοῖ σὺν ἀλλαλο-
φονίᾳ γένος ἀρήϊον.
λείφθη δὲ Θέρσανδρος ἐ-
ριπόντι Πολυνείκει,
νέοις ἀέθλοισιν
ἐν μάχαις τε πολέμου
τιμώμενος, Αδραστεΐδαν
θάλος ἀρωγὸν δόμοις,
ὅθεν σπέρματος ἔχον-
τι ῥίζαν. πρέπει
τὸν Αἰνησιδάμου
ἐγκωμίων τε μελέων
λυρᾶν τε τυγχανέμεν.

ἀντιστροφὴ, κ. ώιδι.

Ολυμπία μὲν γὰρ αὐτὸς
γέρας ἔδεκτο. Πυθῶνι
δ' ὁμόκλαρον ἐν ἀδελφεὸν,
Ισθμοῖ τε, κοιναὶ χάρι-
τες ἄνθεα τεθρίππων

δυω-

δυωδεκαδρόμων
» ἄγαγον. τὸ δὲ τυχεῖν
» πειρώμενον ἀγωνίας,
» παραλύει δυσφρόνων.
» ὁ μὰν πλοῦτος ἀρεταῖς
» δεδαιδαλμένος
» φέρει τῶν τε, καὶ τῶν
» καρὸν, βαθεῖαν ὑπέχων
» μέριμναν, ἀγροτέραν·

ἐπωδὸς. κώ. η.

ἀστὴρ ἀρίζηλος, ἀλαθινὸν
ἀνδρὶ φέγγος. εἰ δέ μιν ἔχει
τὶς, οἶδε τὸ μέλλον,
ὅτι θανόντων μὲν ἐν-
θάδ' αὐτίκ' ἀπάλαμνοι φρένες
ποινὰς ἔτισαν. τάδ' ἐν τᾷδε Διὸς ἀρχᾷ
» ἀλιτρὰ, κατὰ γᾶς δικά-
» ζει τίς, ἐχθρᾷ λόγον φράσας ἀνάγκᾳ.

στροφὴ δ. κώ. ιδ.

ἴσον δὲ νύκτεσσιν αἰεὶ,
ἴσα δ' ἐν ἁμέραις ἅλι-

ον ἔχον-

ὃν ἔχοντες, ἀπονέστερον
ἐσλοὶ νέμονται βίο-
τον. σὺ χθόνα περάσαν-
τες ἀλικᾶ χερῶν,
οὐδὲ πόντιον ὕδωρ,
κείναν παρὰ δίαιταν. ἀλ- »
λὰ παρὰ μὲν τιμίοις »
θεῶν, οἵ τινες ἔχαι- »
ρον εὐορκίαις, »
ἄδακρυν νέμονται »
αἰῶνα. τοῖσδ' ἀπροσόρα- »
τον ὀχέουσι πόνον.

ἀντιστροφὴ. κώ. ιδ.

ὅσοι δ' ἐπόλμησαν δὶς τρὶς »
ἑκατέρωθι μείναντες, »
ἀπὸ πάμπαν ἀδίκων ἔχαν »
ψυχὰν, ἔτειλαν Διὸς »
ὁδὸν παρὰ Κρόνου τύρ- »
σιν. ἔνθα μακάρων
νᾶσον ὠκεανίδες
αὔραι περιπνέουσιν. ἄν-

θεμα δὲ χρυσοῦ φλέγα,
τὸ μὲν χερσόθεν ἀπ' ἀ-
γλαᾶν δενδρέων,
ὕδωρ δ' ἄλλα φέρθει.
ὄρμοισι τῶν χέρας ἀνα-
πλέκονθι καὶ στεφάνοις,

ἐπω. κώ. η.

βουλαῖς ἐν ὀρθαῖς ραδαμάνθυος,
ὃν πατὴρ ἔχει κρόνος ἐπῖ-
μον ἀυτῷ πάρεδρον,
πόσις ὁ πάντων ῥέας
ὑπέρτατον ἐχοίσας θρόνον.
πηλεύς τε καὶ κάδμος ἐν τοῖσιν ἀλέγονται.
ἀχιλλέα τ' εὔεικ', ἐπεὶ
ζηνὸς ἦτορ λιταῖς ἔπεισε μάτηρ.

στροφὴ. κώ. ιδ.

ὃς ἑκτορ' ἔσφαλε τροίας
ἄμαχον, ἀσπαβῆ κίο-
ναν. κύκνον τε θανάτῳ πέρσεν.
ἀοῦς τε παῖδ' αἰθίο-
πα. πολλά μοι ὑπ' ἀγκῶ-

ν

νος ὠκέα βέλη
ἔνδον ἐντὶ φαρέτρας
φωνᾶντα συνετοῖσιν. ὃς
δὲ τὸ πᾶν ἑρμηνέων
χατίζει. σοφὸς ὁ πολ- »
λὰ εἰδὼς φυᾷ. »
μαθόντες δὲ, λάβροι »
παγγλωσσίᾳ, κόρακες ὥς, »
ἄκραντα γαρύετον »
ἀντιστρο. κώ. ιδ.
Διὸς πρὸς ὄρνιχα θεῖον. »
ἔπεχε νῦν σκοπῷ τόξον·
ἄγε θυμὲ, τίνα βάλλομεν,
ἐκ μαλθακᾶς αὖτε φρε-
νὸς εὐκλέας ὀϊστοὺς
ἱέντες; ἐπί τοι
ἀκράγαντι τανύσαις.
αὐδάσομαι ἐνόρκιον
λόγον ἀλαθεῖ νόῳ,
τεκεῖν μήτιν' ἑκατόν
γ' ἐτέων πόλιν

φίλοις ἄνδρα μᾶλλον
εὐεργέταν πραπίσιν, ἀ-
φθονέστερόν τε χέρα,

ἐπωδὸς. κώ. η.

Θήρωνος. ἀλλ' αἶνον ἔβακόρος
οὐ δίκᾳ συναντόμενος, ἀλ-
λὰ μάργων ὑπ' ἀνδρῶν
τὸ λαλαγῆσαι θέλων,
κρύφον τε θέμεν ἐσθλῶν, κακοῖς
ἔργοις. ἐπεὶ ψάμμος ἀριθμὸν περιπέφευ-
γεν, κεῖνος ὅσα χάρματ' ἄλ-
λοις ἔθηκεν, τίς ἂν φράσαι δύναιτο;

ΤΩ ΑΥΤΩ ΘΗΡΩΝΙ ΕΙΣ ΘΕΟΞΕΝΙΑ.

ΕΙΔΟΣ Γ.

στροφὴ α. κώ. θ.

Τυνδαρίδαις τε φιλοξένοις ἀδεῖν,
καλλιπλοκάμῳθ' Ελένᾳ,
κλειναὶ Ακράγαντα γεγαίρων εὔχομαι,
θέρω-

Θήρωνος ὀλυμπιονίκαν
ὕμνον ὀρθώσας, ἀκαμανποπόδων
ἵππων ἄωτον.
μοῖσα δ' οὕτω τοι παρέστα
μοι νεοσίγαλον εὑρόντι τρόπον,
δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ

ἀντιστρο. κώ. θ.

ἀγλαόκωμον. επεί χαίταισι μὲν
ζευχθέντες ἐπὶ στέφανοι
πράσσοντί με τοῦτο θεόδματον χρέος,
φόρμιγγά τε ποικιλόγαρυν,
καὶ βοὰν αὐλῶν, ἐπέων τε θέσιν,
Αἰνησιδάμου
παιδὶ συμμίζαι πρεπόντως·
ἅ, τε πίσα με γεγωνεῖν. τᾶς ἄπο
θεύμοροι νίσσοντ' ἐπ' ἀνθρώπους ἀοιδαί.

ἐπω. κώ. θ.

ᾧ τινι κραίνων ἐφετμὰς
Ηρακλέος προτέρας,
ἀτρεκὴς ἑλλανοδίκας βλεφάρων
αἰτωλὸς ἀνὴρ ὑψόθεν

ἀμφὶ κόμαισι βάλοι γλαυ-
κόχροα κόσμον ἐλαίας. τάν ποτε
Ιστρου ἀπὸ σκιαρᾶν παγᾶν ἔνεικεν
Αμφιτρυωνιάδας,
μνᾶμα τῶν σὺλυμπία κάλλιστον ἄθλων.

στροφὴ. β. κώ. θ.

δᾶμον ὑπερβορέων πείσας, Απόλ-
λωνος θεράποντα. ὅγε
πιστὰ φρονέων Διὸς αἰτεῖ πανδόκῳ
ἄλσει, σκιαρόν τε φύτευμα,
ξυνὸν ἀνθρώποις, στέφανόν τ' ἀρετᾶς.
ἤδη γὰρ αὐτῷ
πατρὶ μὲν βωμῶν ἁγισθέν-
των, διχόμηνις ὅλον χρυσάρματος
ἑσπέρας ὀφθάλμὸν ἀντέφλεξε μήνα.

ἀντιστρο. κώ. θ.

καὶ μεγάλων ἄεθλων ἁγνὰν κρίσιν,
καὶ πενταετηρίδ' ἁμᾶ
θῆκε ζαδέοις ἐπὶ κρημνοῖς Αλφεοῦ.
ἀλλ' οὐ καλὰ δένδρε' ἔθαλλε
χῶρος ἐν βάσσαις Κρονίου Πέλοπος.

τούτων

τούτων ἔδοξε
γυμνὸς αὐτῷ κᾶπος ὀξεί-
αις ὑπακούεμεν αὐγαῖς ἁλίου.
δὴ τότ' ἐς γαῖαν πορεύειν θυμὸς ὥρμαι-
ἐπω. κώ. η.
ν' ἱστριανήν. ἔνθα Λατοῦς
ἱπποσόα θυγάτηρ
δέξατ' ἐλθόντ' Αρκαδίας ἀπὸ δει-
ρᾶν, καὶ πολυγάμπτων μυχῶν.
εὖ τέ μιν ἀγγελίαις Ευ-
ρυσθέος ἐντυ' ἄναγκα πατρόθεν,
χρυσόκερων ἔλαφον θήλειαν ἄξον-
θ'. ἅν ποτε Ταϋγέτα
ἀντιθεῖσ' Ωρθωσίᾳ, ἔγραψεν ἱράν.
στρο. γ. κώ. θ.
τὰν μεθέπων, ἴδε κἀκείναν χθόνα
πνοιᾶς ὄπισθεν βορέα
ψυχροῦ. τόθι δένδρεα θαύμαινε σταθείς.
τῷ νιν γλυκὺς ἵμερος ἔσχε
δωδεκά γναμπτον περὶ τέρμα δρόμου
ἵππων φυτεῦσαι

καὶ νῦν ἐν ταύταν ἑορτὰν
ἵλαος ἀντιθέοισι νίσσεται
σὺν βαθυζώνου διδύμοις παισὶ Λήδας.

ἀντίστρο. κώ. θ.

τοῖς γὰρ ἐπέτραπεν σὺλυμπόνδ' ἰὼν
θαητὸν ἀγῶνα νέμειν,
ἀνδρῶν τ' ἀρετᾶς πέρι, καὶ ῥυμφαρμάτου
διφρηλασίας. ἐμὲ δ' ὦν πα
θυμὸς ὀτρύνει φάμεν, Εμμενίδαις
Θήρωνίτ' ἐλθεῖν
κῦδος, εὐΐππων διδόντων
Τυνδαριδᾶν. ὅτι πλείσταισι βροτῶν
ξεινίαις αὐτοὺς ἐποίχονται τραπέζαις.

ἐπω. κώ. θ.

εὐσεβεῖ γνώμᾳ φυλάσσον-
τες μακάρων τελετάς.
εἰ δ' ἀριστεύει μὲν ὕδωρ, κτεάνων
δὲ χρυσὸς αἰδοιέστατον,
νῦν γε πρὸς ἐσχατιὰν Θή-
ρων ἀρεταῖσιν ἱκάνων, ἅπτεται
οἴκοθεν Ηρακλέος στηλᾶν. τὸ πόρσω
δ' ἔστι

δ' ἔστι σοφοῖς ἄβατον
κἀσόφοις, οὐ μὴν διώξω, κεινὸς εἴην.

ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩ, ΙΠΠΟΙΣ.

ΕΙΔΟΣ Δ.

στροφὴ. α. κώ. ιε.

Ελαπὴρ ὑπέρτατε βροντᾶς
ἀκαμαντίποδος
Ζεῦ (τεαὶ γὰρ ὧραι
ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς
ἑλισσόμεναί μ' ἔπεμψαν,
ὑψηλοτάτων μάρτυρ' ἀέθλων,
ξείνων δ' εὖ πρασσόντων, ἔσαναν ,,
αὐτίκ' ἀγγελίαν ,,
ποτὶ γλυκεῖαν ἐσλοί) ,,
ἀλλ' ὦ Κρόνου παῖ, ὃς Αἴτναν ἔχεις,
ἶπον ἠνεμόεσσαν ἑκατογ-
κεφάλα Τυφῶνος ὀβρίμου,
σὺ λυμπιονίκαν
δέκευ χαρίτων ἕκα-
τι τόνδε κῶμον,

ἀντιστρο. κώ. ιε.

χρονιώτατον φάος εὐρυ-
σθενέων ἀρετᾶν.
Ψαύμιδος γὰρ ἥκει
ὀχέων· ὃς ἐλαίᾳ στεφανωθεὶς
Πισάτιδι, κῦδος ὄρσαι
σπεύδει Καμαρίνᾳ. θεὸς εὔφρων
εἴη λοιπαῖς εὐχαῖς· ἐπεί μιν
αἰνέω, μάλα μὲν
τροφαῖς ἑτοῖμον ἵππων,
χαίροντά δε ξεινίαις πανδόκοις,
καὶ πρὸς ἡσυχίαν φιλόπολιν
καθαρᾷ γνώμᾳ τεθραμμένον.
οὐ ψεύδεϊ τέγξω
" λόγον. Διάπειρά τοι
" βροτῶν ἔλεγχος.

ἐπω. κώ. ιϛ.

ἅπερ Κλυμένοιο παῖδα
Λαμνιάδων γυναικῶν
ἔλυσεν ἐξ ἀτιμίας.
χαλκοῖσιν δ' ἐν ἔντεσι νικῶν

δρό-

δρόμον, ἔειπεν Υψιπυλείᾳ,
μετὰ στέφανον ἰών·
οὗτος ἐγὼ, ταχυτᾶτι
χεῖρες δὲ καὶ ἦτορ ἴσον.
Φύονται δὲ καὶ νέοις
ἐν ἀνδράσι πολιαὶ
θαμὰ, καὶ παρὰ τὸν ἁλικίας
ἐοικότα χρόνον.

ΤΩ ΑΥΤΩ ΨΑΥΜΙΔΙ, ΤΕΘΡΙΠΠΩ, ΑΠΗΝΗ, ΚΑΙ ΚΕΛΗΤΙ.

ΕΙΔΟΣ Ε.

στροφὴ α. κώ. ιθ.

Υψηλᾶν ἀρετᾶν, καὶ
στεφάνων ἄωτον γλυκὺν,
τῶν Οὐλυμπίᾳ,
Ωκεανοῦ θύγατερ,
καρδίᾳ γελανεῖ,
ἀκαμαντίποδός τ' ἀπήνας δέκευ
Ψαύμιδός τε δῶρα,

ὃς τὰν

ὃς τὰν σὰν πόλιν αὔξων
Καμαρίνα λαοτρόφον,
βωμοὺς ἔξ διδύ-
μους ἐγέραρεν ἑορ-
ταῖς θεῶν, μεγίσαις
ἅτε βουθυσίαις, ἀέθλων τε πεμ-
πάμερος ἁμίλλαις,
ἵπποις, ἡμιόνοις τε, μοναμπυκί-
ατε. τὶν δὲ κῦδος
ἄβρὸν νικήσας ἀνέθηκε. καὶ
ὃν πατέρ' Ακρων' ἐκάρυξε, καὶ
τὰν νέοικον ἕδραν.

ἀντιστρο. κώ. ιθ.

ἐκὼν δ' Οἰνομάου, καὶ
Πέλοπος παρ' εὐηράτων
σταθμῶν, ὦ πολι-
άοχε Παλλὰς, ἄει-
δει μὲν ἅλσος ἀγλὸν
τὸ τεὸν, πλαμόν τε Ωανον, ἐγ-
χωρίαν τε λίμναν,
καὶ σεμνοὺς ὀχετοὺς, Ιπ-

παρις

παρις οἷσιν ἄρδει στρατὸν,
κολλᾷ τε σταδί-
ων θαλάμων ταχέως
ὑψίγυον ἄλσος,
ἀπ' ἀμηχανίας ἄγων ἐν φάος
τόν δε δᾶμον ἀστῶν.
ἀεί δ' ἀμφ' ἀρεταῖσι πόνος δαπά- »
να τε μάρναται, πρὸς »
ἔργον κινδυνῷ κεκαλυμμένον. »
εὖ δ' ἔχοντες, σοφοὶ καὶ πολί- »
ταις ἔδοξαν ἔμμεν. »

στροφὴ β. κώ. ιθ.

Σωτὴρ ὑψινεφὲς Ζεῦ,
Κρόνιόν τε ναίων λόφον,
τιμῶν τ' Αλφεὸν
εὐρὺ ῥέοντα, ἰδαῖ-
όν τε σεμνὸν ἄντρον,
ἱκέτας σέθεν ἔρχομαι, λυδίοις
ἀπύων ἐν αὐλοῖς,
αἰτήσων πόλιν εὐα-
νορίαισι τάνδε κλυταῖς

δαι-

δαιδάλλειν· σέτ' ὀ-
λυμπιόνικε, Ποσει-
δανίοισιν ἵπποις
ἐπιτερπόμενον, φέρειν γῆρας εὔ-
θυμον ἐς τελευτὰν,
„ υἱῶν Ψαῦμι παρισταμένων. ὑγί-
„ εντα δ' εἴτις ὄλβον
„ ἄρδει, ἐξαρκέων κτεάτεσσι, καὶ
„ εὐλογίαν προστιθεὶς, μὴ ματεύ-
„ σῃ θεὸς γενέσθαι.

ΑΓΗΣΙΑ ΣΥΡΑΚΟΥΣΙΩ,
υἱῷ Σωστράτου, ἀπήνῃ.

ΕΙΔΟΣ ϛ.

στρο. α. κώ. ια.

Χρυσέας ὑποστάσαντες εὐ-
τειχεῖ προθύρῳ θαλάμου
κίονας, ὡς ὅτε θαητὸν μέγαρον
„ πάξομεν. ἀρχομένου δ' ἔργου πρόσωπον
„ χρὴ θέμεν τηλαυγές. εἰ

δ' εἴη

δ' ἔτη μὲν ὀλυμπιονίκας,
βωμῷ τε μαντεύω ταμίας Διὸς ἐν
Πίσᾳ, ξυνοικιστής τε τᾶν κλεινᾶν συρα-
κοσιᾶν, τίνα κεν φύγοι ὕμνον
κεῖνος ἀνὴρ, ὃς πικύρσας ἀφθόνων
ἀέθλων ἐν ἱμερταῖς ἀοιδαῖς;
ἀντίστρο. κώ. ια.
ἴσω γὰρ ἐν τούτῳ πεδί-
λῳ δαιμόνιον πόδ' ἔχων
σωτῆρα τυ γὸς. ἀκίνδυνοι δ' ἀρεταὶ, »
οὔτε παρ' ἀνδράσιν, οὔτ' ἐν ναυσὶ κοίλαις »
πίμπλαν· πολλοὶ δὲ μέ- »
μνανται καλὸν εἴ τι πανάθη. »
Ἀγησία, τὶν δ' αἶνος ἑτοῖμος, ὃν ἐν
δίκᾳ χρὸ γλώσσης Ἀδραστος μάντιν Οἰ-
κλείδαν ποτ' ὄρ Ἀμφιάρεων
φθέγξατ', ἐπεὶ καπὰ γᾶν αὐτόν τέ νιν
καὶ φαιδίμας ἵππους ἔμαρψεν.
ἐπω. κώ. ιδ.
ἔνθά δ' ἔπειτα πυρᾶν νεκρῶν τελε-
σθέντων, Ταλαϊονίδας

εἶπεν

εἶπεν ἐν Θήβαισι τοιοῦτόν τι ἔπος,
ποθέω στρατιᾶς
ὀφθαλμὸν ἐμᾶς, ἀμφότερον,
μάντιν τ' ἀγαθὸν,
καὶ δουρὶ μάρναισθαι. τὸ καὶ
ἀνδρὶ κώμου δεσπότᾳ
νῦν πάρεστι συρακουσίῳ.
οὐ φιλόνεινος ἐὼν,
οὐτ' ὦν δύσερίς τις ἄγαν,
καὶ μέγαν ὅρκον ὀμόσσας,
τοῦτο γέ οἱ σαφέως μαρτυρή-
σω· μελίφθογγοι δ' ἐπιτρέψοντι μοῖσαι.

στροφὴ. κώ. ια.

ὦ φίντις, ἀλλὰ ζεῦξον ἤ-
δη μοι σθένος ἡμιόνων
ᾗ τάχος, ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ
βάσωμεν ὄκχον, ἵκωμαί τε πρὸς ἀνδρῶν
καὶ γένος. κεῖναι γὰρ ἐξ
ἄλλαν, ὁδὸν ἁγεμονεῦσαι
ταύταν ἐπίστανται, στεφάνους ἐν ὀλυμ-
πίᾳ ἐπεὶ δέξαντο. χρὴ τοίνυν πύλας
ὕμνων

ὕμνων ἀναπιτνάμεν αὐταῖς.
πρὸς Πιτάναν δὲ παρ' Εὐρώπα πάρον
δεῖ σάμερόν γ' ἐλθεῖν ἐν ὥρᾳ.

ἀντιστρο. κώ. ια.

ἅ τοι Ποσειδάονι μι-
χθεῖσα Κρονίῳ, λέγεται
παῖδ' ἰοπλόκαμον Εὐάδναν τεκέμεν·
κρύψαι δὲ παρθενίαν ὠδῖνα κόλποις.
κυρίῳ δ' ἐν μηνὶ πέμ-
ποισ' ἀμφιπόλους, ἐκέλευσεν
ἥρωϊ πορσαίνειν δόμεν Εἰλατίδᾳ
βρέφος γ', ὃς ἀνδρῶν ἀρκάδων ἄνασσε φαι-
σάνᾳ, λάχετ' Αλφεὸν οἰκεῖν.
ἔνθα τραφεῖσ' ὑπ' Απόλλωνι γλυκεί-
ας πρῶτον ἔψαυσ' ἀφροδίτας.

ἐπω. κώ. ιδ.

οὐδ' ἔλαθ' Αἴπυτον ἐν παντὶ χρόνῳ,
κλέπτοισα θεοῖο γόνον.
ἀλλ' ὁ μὲν Πυθῶνάδ', ἐν θυμῷ πιέσας
χόλον οὐ φατὸν ὀ-
ξείᾳ μελέτᾳ, ᾤχετ' ἰὼν,

μαντευσόμενος
ταύτας περ' ἀτλάτου πάθας.
ἁ δὲ φοινικόκροκον
ζώναν καταθηκαμένα,
κάλπιδά τ' ἀργυρέαν,
λόχμας ὑπὸ κυανέας,
τίκτε θεόφρονα κοῦρον.
τᾷ μὲν ὁ χρυσοκόμας πραΰμη-
τίντ' Ελευθὼ συμπαρέστασέν τε μοίρας.

στροφὴ. γ. κώ. ια.

ἦλθε δ' ὑπὸ σπλάγχνων ὑπ' ὠ-
δῖνός τ' ἐρατᾶς Ιαμος
ἐν φάος αὐτίκα· τὸν μὲν κνιζομένα
λεῖπε χαμαὶ, δύο δὲ γλαυκῶπες αὐτὸν
δαιμόνων βουλαῖσιν ἐ-
θρέψαντο δράκοντες ἀμεμφεῖ
ἰῷ μελισσᾶν κηδόμενοι. βασιλεὺς
δ' ἐπεὶ πετραέσσας ἐλαύνων ἵκετ' ἐκ
Πυθῶνος, ἅπαντας ἐν οἴκῳ
εἴρετο παῖδα τὸν Εὐάδνα τέκοι·
φοίβου γὰρ αὐτὸν φᾷ γεγάκειν

ἀντι-

ἀντιστρο. κώ. ια.

πατρός· πέρι θνατῶν δ' ἔσε-
σθαι μάντιν ἐπιχθονίοις
ἔξοχον, οὐδέ ποτ' ἐκλείψειν γενεάν.
ὣς ἄρα μάνυε. τοὶ δ' οὔτ' ὦν ἀκοῦσαι,
οὔτ' ἰδεῖν εὔχοντο, πεμ-
πταῖον γεγραμένον. ἀλλ' ἐγ-
κέκρυπτο γὰρ σχοίνῳ, βατίᾳ τ' ἐν ἀπει-
ράτῳ, ἴων ξανθαῖσι καὶ παμπορφύροις
ἀκτῖσι βεβρεγμένος ἁβρὸν
σῶμα. τὸ, καὶ κατεφάμιξεν καλεῖ-
σθαί μιν χρόνῳ σύμπαντι μάτηρ

ἐπω. κώ. ιδ.

τοῦτ' ὄνυμ' ἀθάνατον. τερπνᾶς δ' ἐπεὶ
χρυσοστεφάνοιο λάβεν
καρπὸν ἥβας, Αλφεῷ μέσσῳ καταβὰς
ἐκάλεσσε Ποσει-
δῶν' εὐρυβίαν ὃν πρόγονον,
καὶ τοξοφόρον
Λάλου θεοῦ μήτας σκοπὸν,
αἰτέων λαοτρόφον

τεμάν τιν' ἑᾶ κεφαλᾷ,
νυκτὸς ὑπαίθριος· ἀν-
τεφθέγξατο δ' ἀρτιεπὴς
πατρία ὄσσα, μετάλλα-
σέν τέ μιν, ὄρσο τέκνον δεῦρο πάγ-
κοινον ἐν χώραν ἴμεν, φάμας ὄπισθεν.

στροφὴ. δ. κώ. ια.

ἵκοντο δ' ὑψηλοῖο πέ-
τραν ἀλίβατον Κρονίου.
ἔνθά οἱ ὤπασε θησαυρὸν δίδυμον
μαντοσύνας. τόκα μὲν φωνὰν ἀκούειν
ψευδέων ἄγνωστον, εὖ-
τ' ἂν θρασυμάχανος ἐλθὼν
Ηρακλέης, σεμνὸν θάλος Αλκαϊδᾶν,
πατρός θ' ἑορτάν τε κτίσῃ πλειστόμβροτον,
τεθμόν τε μέγιστον ἀέθλων,
Ζηνὸς ἐπ' ἀκροτάτῳ βωμῷ, τότ' αὖ
χρηστήριον θέσθαι κέλευσεν.

ἀντιστρο. κώ. ια.

ἐξ οὗ πολύκλειτον καθ' ἕλ-
λανας γένος Ιαμιδᾶν

ὄλβος

ὄλβος ἅμ' ἕσπετο. τιμῶντες δ' ἀρετὰς
εὖ φανερὰν ὁδὸν ἔρχονται. τεκμαίρει
χρῆμ' ἕκαστον. μῶμος δ' ἐξ
ἄλλων κρέμαται φθονεόντων,
τοῖς οἷς ποτε πρῶτον περὶ δωδέκατον
δρόμον γ' ἐλαυνόντεσσιν αἰδοία ποτι-
στάζει χάρις εὐκλέα μορφάν.
εἰ δ' ἑτύμως ὑπὸ Κυλλάνας ὄρος
Αγησία μάτρωες ἄνδρες

ἐπω. κώ. ιδ.

νικετάοντες, ἐδώρησαν θεῶν
κάρυκα λιταῖς θυσίαις,
πολλὰ δὴ πολλαῖσιν Ερμᾶν εὐσεβέως·
ὃς ἀγῶνας ἔχει
μοῖράν τ' ἀέθλων, Αρκαδίαν
τ' εὐάνορα τι-
μᾶ· κεῖνος, ὦ παῖ Σωστράτου,
σὺν βαρυγδούπῳ πατρὶ
κραίνει σέθεν εὐτυχίαν.
δόξαν ἔχω τιν' ἐπὶ
γλώσσα ἀκόνας λιγυρᾶς,

ἅ μ' ἐθέλοντα προσέλκει
καλλιρόοισι πνοαῖς. ματρομά-
τωρ ἐμὰ Στυμφαλὶς εὐανθὴς μετώπα.

στρο. ε. κώ. ια.

πλάξιππον ἃ Θήβαν ἔτι-
κτεν, τᾶς ἐρατεινὸν ὕδωρ
πίομαι, ἀνδράσιν αἰχμηταῖσι πλέκων
ποικίλον ὕμνον. ὄτρυνον νῦν ἑταίρους
Αἰνέα, πρῶτον μὲν Η-
ραν παρθενίαν κελαδῆσαι·
γνῶναί τ' ἔπειτ' ἀρχαῖον ὄνειδος ἀλα-
θέσιν λόγοις εἰ φεύγομεν, Βοιωτίαν
ὖν. ἐσσὶ γὰρ ἄγγελος ὀρθὸς,
ἠϋκόμων σκυτάλα μοισᾶν, γλυκὺς
κρητὴρ ἀγαφθέγκτων ἀοιδᾶν.

ἀντιστρο. κώ. ια.

εἶπον δὲ μεμνᾶσθαι Συρα-
κουσᾶν τε καὶ Ορτυγίας,
τὰν Ιέρων καθαρῷ σκάπτῳ διέπων,
ἄρτια μηδόμενος, φοινικόπεζαν
ἀμφέπει Δάματρα, λευ-

κίπ-

κίππου τε θυγατρὸς ἑορτὰν,
καὶ Ζηνὸς αἰτναίου κράτος. ἀδύλογοι
δέ μιν λύραι μολπαί τε γινώσκοντι. μὴ
θραύσοι χρόνος ὄλβον ἐφέρπων.
σὺν δὲ φιλοφροσύναις εὐκράτοις
Αγησία δέξαιτο κῶμον.

ἐπω. κώ. ιδ.

οἴκοθεν οἴκαδ' ἀπὸ ϛυμφαλίων
τειχέων ποτινισσόμενον,
ματέρ' εὐμήλοιο λείποντ' Αρκαδίας.
ἀγαθαὶ δὲ πέλον- ,,
τ' ἐν χειμερίᾳ νυκτὶ θοᾶς ,,
ἐκ ναὸς ἀπε- ,,
σκίμφθαι δύ' ἄγκυραι. θεὸς ,,
τῶνδ' ἐκείνων τε κλυτὰν
αἶσαν παρέχοι. φιλέων
δέσποτα ποντόμεδον,
εὐθὺν δὲ πλόον, καμάτων
ἐκτὸς ἐόντα δίδου, χρυ-
σαλακάτοιο πόσις Αμφιτρί-
τας· ἐμῶν δ' ὕμνων ἄεξ' εὐτερπὲς ἄνθος.

ΠΙΝΔ. ΟΛ.

ΔΙΑΓΟΡΑ ΡΟΔΙΩ, ΠΥΚΤΗ.

ΕΙΔΟΣ Ζ.

στροφὴ. α. κώ. ια.

Φιάλαν ὡς εἴπις ἀ-
φνειᾶς ἀπὸ χειρὸς ἑλὼν,
εὖδον ἀμπέλου κηχλάζοι-
σαν δρόσῳ, δωρήσεται
νεανίᾳ χαμβρῷ πεσπίνων,
ὄικοθεν ὄικαδε, πάγ-
χρυσον κορυφαὶ κλεάνων,
συμποσίου τε χάριν, καὶ δόξ' ἐπιμά-
σας ἑόν· ἐν δὲ φίλων
παρεόντων, ἦκέ μιν ζα-
λωτὴν ὁμόφρονα εὐνᾶς.

ἀντιστρ. κώ. ια.

κεἰ ἐγὼ νέκταρ χυτόν,
μοισᾶν [δόσιν, ἀθλοφόροις
ἀνδράσιν πέμπων, γλυκὺν καρ-
πὸν φρενός γ' ἱλάσκομαι,

ολυμ-

Ολυμπίᾳ Πυθοῖ τε νικών-
τεσσιν. ὁ δ' ὄλβιος ὃν
φᾶμαι κατέχοντ' ἀγαθαί.
ἄλλοτε δ' ἄλλον ἐποπτεύει χάρις ζω-
θάλμιος, ἁδυμελεῖ
θ' ἅμα μὲν φόρμιγγι, παμφώ-
νοισίτ' ἐν ἔντεσιν αὐλῶν.

ἐπω. κώ. ιγ.

καὶ νῦν ὑπ' ἀμφοτέρων
σὺν Διαγόρᾳ κατέβαν, τὰν ποντίαν
ὑμνέων παῖδ' Αφροδίτας
Αελίοιό τε νύμφαν
Ρόδον· εὐθυμάχαν
ὄφρα πελώριον ἄνδρα παρ' Αλ-
φειῷ στεφανωσάμενον
αἰνέσω, πυγμᾶς ἄποινα,
καὶ παρὰ Κασταλίᾳ,
πατέρατε Δαμάγητον ἁδόντα δίκᾳ,
Ασίας εὐρυχώρου
τρίπολιν νᾶσον πέλας
ἐμβόλω ναίοντας, Αργείᾳ σὺν αἰχμᾷ.

στροφ. β. κώ. ια.

ἐθελήσω τοῖσιν ἐξ
ἀρχᾶς ἀπὸ Τλαπολέμου
ξυνὸν ἀγγέλλων διορθῶ-
σαι λόγον, Ηρακλέος
εὐρυσθενεῖ γένᾳ. τὸ μὲν γὰρ
πατρόθεν, ἐκ Διὸς εὔ-
χονται· τὸ δ' Αμυντορίδαι
„ ματρόθεν, Αστυδαμείας. ἀμφὶ δ' ἀνθρώ-
„ πων φρεσὶν ἀμπλακίαι
„ ἀναρίθμητοι κρέμανται.
„ τοῦτο δ' ἀμάχανον εὑρεῖν,

ἀντιστρ. κώ. ια.

„ ὅ, τι νῦν καὶ ἐν τελευ-
„ τᾷ φέρτατον ἀνδρὶ τυχεῖν.
καὶ γὰρ Αλκμήνας κασίγνη-
τον νόθον σκάπτῳ θένων
σκληρᾶς ἐλαίας, ἔκταν' ἐν Τί-
ρυνθι Λικύμνιον, ἐλ-
θόντ' ἐκ θαλάμων Μιδέας,
τᾶς δε ποτὲ χθονὸς οἰκιστὴρ χολωθείς.

(αἱ)

(αἱ δὲ φρενῶν ταραχαὶ ,,
παρέπλαξαν καὶ σοφόν) μαν- ,,
τεύσατο δ' ἐν θεὸν ἐλθών. ,,

ἐπω. κώ. ιγ.

τῷ μὲν ὁ χρυσοκόμας
εὐώδεος ἐξ ἀδύτου ναῶν, πλόον
εἶπε Λερναίας ἀπ' ἀκτᾶς
στέλλεν ἐν ἀμφιθάλασσον
νομόν· ἔνθά ποτε
βρέχε θεῶν βασιλεὺς ὁ μέγας
χρυσαῖς νιφάδεσσι πόλιν,
ἁνίχ' Αφαίστου τέχναισι
χαλκελάτῳ πελέκει,
πατέρος Αθαναία κορυφὰν κατ' ἄκραν
ἀνορούσασ' ἀλάλα-
ξεν ὑπερμάκει βοᾷ.
οὐρανὸς δ' ἔφριξέ νιν καὶ γαῖα μάτηρ.

στρο. γ. κώ. ια.

τότε καὶ φαυσίβροτος
δαίμων Υπεριονίδας
μέλλον ἔντειλε φυλάξα-

σθαι

σθαι χρέος παισὶν φίλοις,
ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν
βωμὸν ἐναργέα, καὶ
σεμνὰν θυσίαν θέμενοι,
πατρί τε θυμὸν ἰάναιεν, κόρᾳ τ' ἐγ-
" χειβρόμῳ. ἐν δ' ἀρετὰν
" ἔβαλεν, καὶ χάρματ' ἀνθρώ-
" ποισι Προμαθέως αἰδώς.

ἀντιστρο. κώ. ια.

" Ἐπὶ μὰν βαίνει τὶ καὶ
" λάθας ἀτέκμαρτον νέφος,
" καὶ παρέλκει πραγμάτων ὀρ-
" θὰν ὁδόν γ' ἔξω φρενῶν.
καί τοι γὰρ αἰθούσας ἔχοντες
σπέρμ' ἀνέβαν φλογὸς οὔ,
τεῦξαν δ' ἀπύροις ἱεροῖς,
ἄλσος ἐν ἀκροπόλει κείνοισι μὲν ξαν-
θὰν ἀγαγὼν νεφέλαν,
πολὺν ὗσε χρυσόν. αὐτὰ
δέ ῥιν ὤπασε τέχναν

ἐπω. κώ. ιγ.

πᾶσαν ἐπιχθονίων
Γλαυκῶπις ἀριστοπόνοις χερσὶ κρατεῖν.
ἔργα δὲ ζωοῖσιν ἑρπόν-
τεσσί θ' ὁμοῖα κέλευθοι
φέρον. ἦν δὲ κλέος
βαθὺ. δαέντι δὲ καὶ σοφίᾳ
μείζων ἄδολος τελέθει.
φαντὶ δ' ἀνθρώπων παλαιαὶ
ῥήσιες, οὔπω ὅτε
χθόνα δατέοντο Ζεύς τε καὶ ἀθάνατοι,
φανερὰν ἐν πελάγει
ῥόδον ἔμμεν ποντίῳ·
ἁλμυροῖς δ' ἐν βένθεσι νᾶσον κεκρύφθαι.

στρο. δ. κώ. ια.

ἀπεόντος δ' οὔτις ἔν-
δειξαν λάχος ἀελίου·
καὶ ῥά μιν χώρας ἀκλάρω-
τον λίπονθ' ἁγνὸν θεόν.
μνασθέντι δὲ Ζεὺς ἄμπαλον μέλ-
λεν θέμεν. ἀλλά μιν οὐκ

εἴασιν

ἔιασιν· ἐπεὶ πολιᾶς
εἶπέ πιν' αὐτὸς ὁρᾶν ἔνδον θαλάσσας
αὐξομένων πεδόθεν
πολύβοσκον γαῖαν ἀνθρώ-
ποισι, κἠμὶ εὔφρονα μάλοις.
ἀντιστρ. κώ. ια.
ἐκέλευσεν δ' αὐτίκα
χρυσόμπυκα μὲν λάχεσιν
χεῖρας ἀνθεῖναι· θεῶν δ' ὁρ-
μὰν μέγαν μὴ παρφάμεν·
ἀλλὰ Κρόνου σὺν παιδὶ νεῦσαι,
φασνὸν ὃν αἰθέρα μιν
περιφθεῖσαν, ἐᾷ κεφαλᾷ
ἐξόπισθε χέρας ἔσεσθαι. τελέσ-
σαν δὲ λόγων κορυφαὶ,
ἐν ἀληθείᾳ πεσοῖσαι.
βλάστε μὲν ἐξ ἁλὸς ὑγρᾶς
ἐπω. κώ. ιγ.
ναῦσφι· ἔχει τέ μιν ὀ-
ξειᾶν ὁ γλυκέθλιος ἀκτίνων πατὴρ,
σὺν πνεόντων ὀχέων ἵππων.

ἔνθα

ἔνθα Ῥόδῳ ποτὲ μιχθεὶς
τέκεν ἑπτὰ σοφώ-
τατα νοήματ' ἐπὶ προτέρων
ἀνδρῶν παραδεξαμένους
παῖδας. ὧν εἷς μὲν Κάμειρον,
πρεσβύτατόν τε Ιά-
λυσον ἔτεκεν, Λίνδον τ'. ἀπάτερθε δ' ἔχον,
διὰ γαῖαν τρίχα δασ-
σάμενοι, πατρωΐαν
ἀστέων μοῖραν· κέκληνται δέ σφιν ἕδραι.

στροφ. ε. κώ. ια.

τόθι λύτρον συμφορᾶς
οἰκτρᾶς γλυκὺ Τλαπολέμῳ
ἵσταται Τιρυνθίων ἀρ-
χαγέτᾳ, ὥσπερ θεῷ,
μάλων τεκνισσάεσσα πομπὰ,
καὶ κρίσις ἀμφ' ἀέθλοις·
τῶν ἄνθεσιν Διαγόρας
ἐστεφανώσατο δίς· κλεινᾷτ' ἐν Ισθμῷ
τετράκις εὐτυχέων,
Νεμέᾳ τ' ἄλλων ἐπ' ἄλλᾳ.

καὶ

καὶ κρανααῖς ἐν Αθάναις.

ἀντιστρ. κώ. ια.

ὅ, τ' ἐν Αργεῖ χαλκὸς ἔ-
γνω μὶν, τάτ' ἐν Αρκαδίᾳ
ἔργα καὶ Θήβαις, ἀγῶνες
τ' ἔννομοι Βοιώτιοι·
Αἴγινα, Πελλάνα τε, νικῶν-
θ' ἑξάκις· ἐν Μεγάροι-
σί τ' οὐχ' ἕτερον λιθίνα
ψᾶφος ἔχει λόγον. ἀλλ' ὦ Ζεῦ πάτερ, νώ-
τοισιν Αταβυρίου
μεδέων, τίμα μὲν ὕμνου
τεθμὸν, ὀλυμπιονίκαν

ἐπω. κώ. ιγ.

ἄνδρα τε, πὺξ ἀρετὰν
εὑρόντα. δίδοι τε οἱ αἰδοίαν χάριν.
καὶ ποτ' ἀστῶν καὶ ποτὶ ξεί-
νων· ἐπεὶ ὕβριος ἐχθράν
ὁδὸν εὐθυπορεῖ,
σάφα δαεὶς ἅτε οἱ πατέρων
ὀρθαὶ φρένες ἐξ ἀγαθῶν

ἔχραον.

ἔχραον. μὴ κρύπτε κοινὸν
σπέρμ' ἀπὸ Καλλιανά-
κτοος, Ερατιδᾶν τοι σὺν χαρίτεσσιν. ἔχει
θαλίας καὶ πόλις. ἐν ,,
δὲ μιᾷ μοίρᾳ χρόνου ,,
ἄλλοτ' ἀλλοῖαι διαιθύσσουσιν αὔραι. ,,

ΑΛΚΙΜΕΔΟΝΤΙ ΠΑΛΑΙΣΤΗ, καὶ Τιμοσθένει παλαιστῇ, καὶ μελησίᾳ ἀλείπτῃ.

ΕΙΔΟΣ Η.

στροφὴ. α. κώ. θ.

Μάτερ ὦ χρυσοστεφάνων
ἀέθλων Ολυμπία,
δέσποιν' ἀλαθείας· ἵνα μάντιες ἄνδρες
ἐμπύροις τεκμαιρόμενοι, παραπει-
ρῶνται Διὸς ἀργικεραύνου,
εἴτιν' ἔχει λόγον ἀνθρώπων πέρι
μαιομένων μεγάλαν
ἀρετὰν θυμῷ λαβεῖν,

τῶν δὲ μόχθων ἀμπνοὰν.

ἀντιστρο. κώ. θ.

„ ἄννεται δὲ πρὸς χάριν εὐ-
„ σεβέων ἀνδρῶν λιταῖς.
ἀλλ' ὦ Πίσας εὔδενδρον ἐπ' Αλφεῷ ἄλσος,
τόνδε κῶμον καὶ στεφανοφορίαν
„ δέξαι. μέγα τι κλέος αἰεὶ
„ ᾧ τινι σὸν γέρας ἕσπετ' ἀγλαὸν.
„ ἀλλὰ δ' ἐπ' ἄλλον ἔβαν
„ ἀγαθῶν. πολλαὶ δ' ὁδοὶ
„ σὺν θεοῖς εὐπραγίας.

ἐπω. κώ. ια.

Τιμόσθενες, ὔμμε δὲ κλάρωσεν πότμος
Ζηνὶ γενεθλίῳ· σὲ μὲν
ἐν Νεμέᾳ πρόφαντον·
Αλκιμέδοντα δὲ πὰρ Κρόνου λόφῳ
θῆκεν ὀλυμπιονίκαν.
ἦν δ' ἐσορᾷν καλὸς, ἔργῳ
τ' οὐ κατὰ εἶδος ἐλέγχων.
ἐξένεπε, κρατέων
Πάλᾳ, δολιχήρετμον Αἴγυναν πάτραν

ἔνθα

ἔνθα Σώτειρα Διὸς ξενίου
πάρεδρος αἰκεῖται Θέμις,

στροφὴ β. κώ. θ.

ἐξοχ' ἀνθρώπων. ὅ, τι γὰρ
πολὺ καὶ πολλὰ ῥέπει, »
ὀρθᾷ διακρίνειν φρενὶ, μὴ παρὰ καιρὸν, »
δυσπαλὲς. τεθμὸς δέ τις ἀθανάτων »
καὶ τάνδ' ἁλιερκέα χώραν
παντοδαποῖσιν ὑπέστασε ξένοις,
κίονα δαιμονίαν
(ὁ δ' ἐπαντέλλων χρόνος
τοῦτο πράσσων μὴ κάμοι)

ἀντιστρ. κώ. θ.

Δωριεῖ λαῷ ταμιευ-
ομένων ἐξ Αἰακοῦ·
τὸν παῖς ὁ Λατοῦς, εὐρυμέδοντε Ποσειδᾶν,
Ιλίῳ μέλλοντες ἐπὶ στέφανον
τεῦξαι, καλέσαντο συνεργὸν
τείχεος. ἦν ὅτι νὶν πεπρωμένον,
ὀρνυμένων πολέμων
πτολιπόρθοις ἐν μάχαις,

λάβρον ἀμπνεῦσαι κραπνόν.

ἐπῳ. κώ. ια.

γλαυκοὶ δ' δράκοντες, ἐπεὶ κλίσθη, νέον
πῦρ ζον ἐσκλόμενοι τρεῖς,
οἱ δύο μὲν κάπεσον,
αὖθι δ' ἀτυζομένω πνοὰς βάλον·
εἷς δ' ἐσύρυσε βοάσας.
σύνεπε δ' ἀντίον ὁρμαί-
νων τέρας εὐθὺς Ἀπόλλων,
Πέρσαμβ' ἀμφὶ τεαῖς
ἥρως χερὸς ἐρασίαις ἁλίσκεται·
ὡς ἐμοὶ φάσμα λέγει Κρονίδα
πεμφθὲν βαρυγδούπου Διός.

τροφὴ γ. κώ. θ.

οὐκ ἄτερ παίδων σέθεν· ἀλ-
λ' ἅμα πρώτοις ἄρξεται
καὶ τετράτοις. ὡς δρᾷ θεὸς σάφα εἰπάς,
Ξάνθον ἥπειγε, καὶ Ἀμφιζόνας εὐ-
ίππους, καὶ ὃν Ἴσρον ἐλαιώων.
ὀρσοτρίαινα δ' ἐπ' Ἰσθμὸν πυτίαν
ἅρμα θοὸν πάνυσον,

ἀπο-

Δὸς πέμπων Αἰακὴν
δεῦρ' ἀν' ἵππους χρυσέας,

ἀντιστρο. κώ. θ.

καὶ Κορίνθου δειράδ', ἐπ-
ιφόμενος δαῖτα κλυτάν.
τερπνὸν δ' ἐν ἀνθρώποις ἴσον ἔστ' οὐδὲν. »
εἰ δ' ἐγὼ Μελησία ἐξ ἀγωνί-
ων κῶδ' ἀνέδραμον ὕμνῳ,
μὴ βαλέτω με λίθῳ τραχεῖ φθόνος.
καὶ νεμέα χὰρ ὁμῶς
ἑρέως παίδων χάριν,
τὰν δ' ἔπειτ' ἀνδρῶν μάχαν

ἐπω. κώ. ια.

ἐν παγκρατίῳ. τὸ διδάξαισθαι δέ τοι »
εἰδότι ῥαίτερον· ἄγνω- »
μον δὲ, τὸ μὴ πεπαθεῖν. »
κωφότερα χὰρ ἀπειράτων φρένες. »
κεῖνα δὲ κεῖνος ἂν εἴποι
ἔρδοι παραίτερον ἄλλων·
τίς τρόπος ἄνδρα πεδάσει,
ἐξ ἱερῶν ἀέθλων

μέλλοντα ποθεινοτάταν δόξαν φέρειν.
νῦν μὲν αὐτῷ γέρας Αλκιμέδων,
νίκαν τριακοστὰν ἑλών·

στροφὴ δ. κώ. θ.

ὃς τύχᾳ μὲν δαίμονος, ἀ-
νορέας δ' οὐκ ἀμπλακὼν,
ἐν τέτρασι παίδων ἀπεθήκατο γύοις
νόστιν ἔχθιστον, καὶ ἀτιμοτέραν
γλῶτταν, καὶ ἐπίκρυφον οἶμον·
πατρὶ δὲ πατρὸς ἐνέπνευσεν μένος
γήραος ἀντίπαλον.
" ἀΐδα τοι λάθεται,
" ἅρμενα πράξας ἀνὴρ.

ἀντιστρο. κώ. θ.

ἀλλ' ἐμὲ χρὴ μναμοσύναν
ἀνεγείροντα, φράσαι
χειρῶν ἄωτον Βλεψιάδαις ἐπίνικον.
ἕκτος οἷς ἤδη στέφανος περίκει-
ται φυλλοφόρων ἀπ' ἀγώνων.
" ἔστι δὲ καί τι θανόντεσσιν μέρος
" κἄννομον ἐρδόμενον.

κατα-

κατακρύπτει δ' οὐ κόνις ,,
συγγόνων κεδνὰν χάριν. ,,

ἐπω. κώ. ια.

Ερμᾶ δὲ θυγατρὸς ἀκούσας Ιφίων
Αγγελίας, ἐνέποικεν
Καλλιμάχῳ λιπαρὸν
κόσμον Ολυμπίᾳ, ὃν ϛφιν ὤπασε
Ζεὺς γένει· ἐσλὰ δ' ἐπ' ἐσλοῖς
ἔργα θέλοι δόμεν, ὀξεί-
ας δὲ νόσους ἀπαλάλκοι·
εὔχομαι ἀμφὶ καλῶν
μοίρᾳ νέμεσιν διχόϐουλον μὴ θέμεν.
ἀλλ' ἀπήμαντον ἄγων βίοτον,
αὐτούς τ' ἀέξοι καὶ πόλιν.

ΕΦΑΡΜΟΣΤΩ ΟΠΟΥΝΤΙΩ,
ΠΑΛΑΙΣΤΗ.

ΕΙΔΟΣ Θ.

στρο. α. κώ. ιϛ.

Τὸ μὲν Ἀρχιλόχου μέλος
φωνᾶεν Ολυμπίᾳ

καλλίνικος ὁ τριπλόος κεχλαδὼς,
ἄρκεσε Κρόνιον παρ' ὄ-
χθον ἁγεμονεῦσαι
κωμάζοντι φίλοις Εφαρ-
μόστῳ σὺν ἑταίροις.
ἀλλὰ νῦν ἑκαταβόλων
μοισᾶν ἀπὸ τόξων,
Δία τε φοινικοστερόπαν,
σεμνόν τ' ἐπίνειμαι
ἀκρωτήριον Αλιδος
τοιοῖς δὲ μέλεσσι·
τὸ δήποτε Λυδὸς ἥρως
Πέλοψ ἐξάρατο κάλλι-
στον ἕδνον Ιπποδαμείας.

ἀντιστροφ. κώ. ιϛ.

πτερόεντα δ' ἰεί γλυκὺν
Πυθῶνάδ' ὀϊστόν. οὔ-
τοι χαμαιπετέων λόγων ἐφάψῃ,
ἀνδρὸς ἀμφὶ παλαίσμασι
φορμίγγ' ἐλελίζων,
κλεινᾶς ἐξ Οπόεντος. αἰ-

νήσαις

νήσαις ἓ καὶ υἱὸν,
ἂν Θεμις, θυγάτηρ τέ οἱ
Σώτειρα λέλογχε
μεγαλόδοξος Εὐνομία.
θάλλει δ' ἀρεταῖς ἴ-
σοντε Κασταλίᾳ, παρ' Αλ-
φειοῦ τε ῥέεθρον·
ὅθεν στεφάνων ἄωτοι
κλυτὰν λοκρῶν ἐπαείρον-
τι ματάρ' ἀγλαόδενδρον.

ἐπω. κώ. ι.

ἐγὼ δέ τοι φίλαν πόλιν
μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς.
καὶ ἀγάνορος ἵππου θᾶσσον,
καὶ ναὸς ὑποπτέρου, παντᾶ
ἀγγελίαν πέμψω ταύταν,
εἰ σύν τινι μοιριδίῳ παλάμᾳ
ἐξαίρετον χαρίτων νέμομαι
κᾶπον. κεῖναι γὰρ ὤπασαν
τὰ τάρπν'. ἀγαθοὶ δὲ ,,
καὶ σοφοὶ κατὰ δαίμον' ἄνδρες ,,

στροφὴ. β. κώ. ιϛ.

„ ἐγένοντο. ἐπεὶ ἔναν-
τ' ἂν πῶς τριόδοντος Η-
ρακλέης Συντάλην τίναξε χερσὶν,
ἀνίκ' ἀμφὶ Πύλον σταθεὶς
ἔρειδε Ποσειδῶν,
ἤρειδέν τέ μιν ἀργυρέῳ
τόξῳ πολεμίζων
Φοῖβος. οὐδ' Αἴδας ἀκι-
νήταν ἔχε ῥάβδον,
βρότεα σώμαθ' ᾇ κατάγει
κοίλαν πρὸς ἀγυιὰν
θνασκόντων. ἀπό μοι λόγον
τοῦτον στόμα ῥίψον
„ ἐπεὶ τό γε λοιδορῆσαι
„ θεοὺς, ἐχθρὰ σοφία· καὶ
„ τὸ καυχᾶσθαι παρὰ καιρὸν.

ἀντιστρ. κωλ. ιϛ.

„ μανίαισιν ὑποκρέκει.
μὴ νῦν λαλάγει τὰ τοι-
„ αῦτ'· ἐά πόλεμον μάχαν τε πᾶσαν.

χωρὶς

χωρὶς ἀθανάτων. φέροις
δὲ Πρωτογενείας
ἄστει γλῶσσαν, ἵν' αἰολο-
βρόντα Διὸς αἴσᾳ
Πύῤῥα Δευκαλίων τε Παρ-
νασσοῦ καταβάντε,
δόμον ἔθεντο πρῶτον· ἄτερ
δ' εὐνᾶς ὁμόδαμον
κτισάσθαν λίθινον γόνον.
λαοὶ δ' ὀνόμασθεν.
ἔγειρ' ἐπέων (φὶν οἶμον
λιγύν. αἴνει δὲ παλαιὸν
μὲν οἶνον, ἄνθεα δ' ὕμνων
ἐπω. κώ. ι.
νεωτέρων. λέγοντι μὰν
χθόνα μὲν κατακλύσαι μέλαιναν
ὕδατος σθένος· ἀλλὰ Ζηνὸς
τέχναις ἀνάπωσιν ἐξαίφνας
ἄντλον ἑλεῖν. κείνων δ' ἔσσαν
χαλκάσπιδες ὑμέτεροι πρόγονοι,
ἀρχᾶθεν Ιαπιτιονίδος

φύλ-

φύτλας κοῦροι, κοραῖν τε φερ-
τάτων Κρονιδᾶν, ἐγ-
χώριοι βασιλῆες αἰεί.

στρο. γ. κώ. ιϛ.

πελὶν ὀλύμπιον ἀγεμὸν
τὸν παῖδ' ἀπὸ γᾶς Επει-
ῶν Οπουῆτον ἀναρπάσας ἔκαλον,
μίχθη Μαιναλίαισιν ἐν
δειραῖς, κὰμ σύεικε
λοκρῷ· μὴ καθέλοι μιν αἰ-
ὼν, πότμον ἐφάψας,
ὀρφανὸν γλυκεᾶς. ἔχε
δὲ σπέρμα μέγιστον
ἄλοχον. εὐφρόνᾳ τε ἰδὼν
ἥρως θεὸν ἰόν.
μάτρωον δ' ἐκάλεσέ μιν
ἰσώνυμον ἔμμεν,
ὑπέρφατον ἄνδρα μορφᾷ
τε καὶ ἔργοισι· πόλιν δ' ὤ-
πασεν λεών τε διαιτᾶν.

ἀντι-

ἀντιστρ. κώ. ιϛ.

ἀφίκοντο δὲ οἱ ξένοι
ἔκ τ' Ἄργεος, ἔκ τε Θη-
βᾶν· οἱ δ' Ἀρκάδες, οἱ δὲ καὶ Πισᾶται
ἵνα δ' Ἄκτορος ἐξόχως
τίμασεν ἐποίκων,
Αἰγίνας τε, Μενοίτιον.
τοῦ παῖς ἅμ' Ἀτρείδαις
Τεύθραντος πεδίον μολὼν,
ἔστα σὺν Ἀχιλλεῖ
μόνος, ὅτ' ἀλκᾶντας Δαναοὺς
τρέψας ἁλίαισι
πρύμναις Τήλεφος ἔμβαλεν.
ὥστ' ἔμφρονι δεῖξαι
μαθεῖν Πατρόκλου βιατὰν
νόον γ' ἐξ οὗ Θέτιος γό-
νος σὺλίῳ μὶν ἐν ἄρει.

ἐπω. κώ. ι.

παραγορεῖτο, μή ποτε
Σφετέρας ἄτερθε ταξιοῦσθαι
δαμασιμβρότου αἰχμᾶς. εἴην

εὑρη-

εὑρησιεπὴς ἀναγεῖσθαι
πρόσφορος ἐν μοισᾶν δίφρῳ.
τόλμα δὲ καὶ ἀμφιλαφὴς δύναμις
ἔσποιτο. προξενίᾳ δ' ἀρετᾷ
τ' ἦλθον τιμάορος Ισθμίαι-
σι Λαμπρομάχου μί-
τραις· ὅτ' ἀμφότεροι κράτησαν
στροφὴ. δ. κώ. ιϛ.
μίαν ἔργον ἀν' ἁμέραν.
ἄλλαι δὲ δύ' ἐν Κορίν-
θου πύλαις ἐγένοντ' ἔπειτα χάρμαι.
ταὶ δὲ καὶ Νεμέας Εφαρ-
μόστῳ κατὰ κόλπον,
Αργειτ' ἔσχεθε κῦδος ἀν-
δρῶν, παῖς δ' ἐν Αθάναις.
οἷον δ' ἐν Μαραθῶνι συ-
λαθεὶς ἀγενείων,
μένεν ἀγῶνα πρεσβυτέρων
ἀμφ' ἀργυρίδεσσι·
φῶτας δ' ὀξυρεπεῖ δόλῳ
ἀπτῶτι δαμάσας,

διήρ-

διήρχετο κύκλον, ὅσσα
βοᾷ, ὡραῖος ἐὼν καὶ
καλὸς, κάλλιστά τε ῥέξας.

ἀντιστρ. κώ. ιϛ.

τὰ δὲ Παρασίῳ στρατῷ
θαυμαστὸς ἐὼν φάνη,
Ζηνὸς ἀμφὶ πανάγυριν Λυκαίου·
καὶ ψυχρᾶν ὁπότ' εὐλα-
νὸν φάρμακον αὐρᾶν
Πελλάνᾳ φέρε. σαύδικος
δ' αὐτῷ Ιολάου
τύμβος, εἰναλία τ' Ελευ-
σὶς ἀγλαΐαισι.
τὸ δὲ φυᾷ, κράτιστον ἅπαν· »
πολλοὶ δὲ διδακταῖς »
ἀνθρώπων ἀρεταῖς κλέος »
ὤρουσαν ἑλέσθαι. »
ἄνευ δὲ θεοῦ, σεσιγα- »
μένον γ' οὐ σκαιότερον χρῆ- »
μ' ἕκαστον. ἐντὶ γὰρ ἄλλαι »

ἐπω.

ΠΙΝΔ. ΟΛ.

ἐπω. κώ. ι.

„ ὁδῶν ὁδὸι παραίτεραι·
„ μίαν δ' ἐχ ἅπαντας ἄμμε θρέψει
„ μελέπω· σοφίαι μὲν αἰπει-
ναί· τοῦτο δὲ πρόσφερον ἆθλον,
ὄρθιον ὧρυσαι θαρσέων,
τόνδ' ἀνέρα δαιμονίως γεγάμεν,
εὐχειρα, δεξιόγυον, ὁρῶν-
τ' ἀλκάν. Αἰάνειόν γε δαι-
πὶ ὅστ' Ιλιάδα νι-
κῶν ἐπισεφάνωσε βωμόν.

ΑΓΗΣΙΔΑΜΩ ΛΟΚΡΩ ΕΠΙΖΕ-
φυρίῳ, παιδὶ, πύκτῃ.

ΕΙΔΟΣ Ι.

τροφὴ α. κώ. η.

Τὸν ὀλυμπονίκαν ἀνάγνωτέ μοι
Αρχεστράτου παῖσα, πόθι φρενὸς
ἐμᾶς γέγραπται. γλυκὺ γὰρ αὐτῷ
μέλος ὀφείλων ἐπιστέλαθ'. ὦ

Μοῖσ'

Μοῖσ' ἀλλὰ σὺ, καὶ θυγάτηρ
Αλάθεια Διὸς,
ὀρθᾷ χερὶ ἐρύκετον ψευδέων
ἐνιπὰν ἀλιτόξενον.

ἀντιστρο. κώ. η.

ἔκαθεν γὰρ ἐπελθὼν ὁ μέλλων χρόνος,
ἀμὸν κατήσχυνε βαθὺ χρέος.
ὅμως δὲ λῦσαι δυνατὸς ὀξεῖ-
αν ἐπιμομφὰν ὁ τόκος ἀνδρῶν·
νῦν ψᾶφον ἑλισσομέναν,
ὅπα κῦμα κατα-
κλύσσει ῥέον· ὅπα τε κοινὸν λόγον
φίλαν τίσομεν ἐν χάριν.

ἐπω. κώ. θ.

νέμει γὰρ ἀτρέκεια πόλιν Λοκρῶν
Ζεφυρίων, μέλει τέ σφισι Καλλιόπα,
καὶ χάλκεος Αρης. τράπε δὲ Κυκνέια
μάχα καὶ ὑπέρβιον Ηρακλέα. πύκτας
δ' ἐν ὀλυμπιάδι νικῶν Ιλᾳ φερέτω χάριν
Αγησίδαμος, ὡς Αχιλλεῖ Πάτροκλος.
θήξας δέ κε φῶτ' ἀρετᾷ ποτὶ

„ πελώριον ὥρμασε κλέος ἀ-
„ νὴρ, θεοῦ σὺν παλάμᾳ.

στροφὴ. β. κώ. η.

„ ἄπονον δ' ἔλαβον χάρμα παῦροί τινες,
„ ἔργων πρὸ πάντων, βιότῳ φάος.
ἀγῶνα δ' ἐξαίρετον ἀεῖσαι
θέμιτες ὦρσαν Διὸς, ὃν ἀρχαί-
ῳ σάματι πὰρ Πέλοπος,
βίη Ηρακλέος
ἐκτίσατο, ἐπεὶ Ποσειδάνιον
πέφνε Κτέατον ἀμύμονα.

ἀντιστρ. κώ. η.

πέφνε δ' Εὔρυτον· ὡς Αὐγέαν λάτριον
ἄκονθ' ἑκὼν μισθὸν ὑπέρβιον
πράσσοιτο. λόχμαισι δὲ δοκεύσας
ὑπὸ Κλεωνᾶν, δάμασε κἀκεί-
νους Ηρακλέης ἐφ' ὁδῷ.
ὅτι πρόσθε ποτὲ
Τιρυύθιον ἔπερσαν αὐτῷ στρατὸν
μυχοῖσιν ἅμμενον Αλιδος

ἐπω.

ἐπω. κώ. θ.

Μολίονες ὑπερφίαλοι. κἠμὲ μὰν
ξυναπάτας Ἐπειῶν βασιλεὺς ὄπιθεν
οὐ πολλὸν, ἴδε πατρίδα πλυκτέαινον
ὑπὸ στερεῷ πυρὶ φλαγαῖς τε σιδάρου
βαθὺν εἰς ὀχετὸν ἄτας ἴζοισαν ἐὰν πόλιν.
νεῖκος δὲ κρεσσόνων ἀποθέσθ' ἄπορον.
κἀκεῖνος ἀβουλίᾳ, ὕστατος
ἀλώσιος ἀντήσας, θάνατον
αἰπὺν ὃν ἐξέφυγε.

στρο. γ. κώ. ή.

ὁ δ' ἄρ' ἐν Πίσᾳ ἔλσας ὅλον τε στρατὸν,
λεϊάν τε πᾶσαν Διὸς ἄλκιμος
υἱὸς, σθεμάτων ζάθεον ἅλσος
πατρὶ μεγίστῳ. πρὶν δὲ πύξας,
ἄλπιν μὲν ὅγ' ἐν καθαρῷ
διέκρινε· τὸ δὲ
κύκλῳ πέδον, ἔθηκε δόρπου λύσιν,
πημάσας πόρον Ἀλφειοῦ,

ἀντιστρ. κώ. ή.

μετὰ δώδεκ' ἀνάκτων θεῶν· ἁ πάγον

Κρόνου προσεφθέγξατο. πρόσθε γὰρ
νώνυμος, ἇς Οἰνόμαος ἄρχε,
βρέχετο πολλᾷ νιφάδι. ταύτᾳ
δ' ἐν πρωτογόνῳ τελετᾷ
παρέσταν μὲν ἄρα
" μοῖραι σχεδὸν, ὅ, τ' ἐξελέγχων μόνος
" ἀλάθειαν ἐτήτυμον

ἐπω. κώ. θ.

χρόνος· τὸ δὲ σαφανὲς ἰὼν πόρσω
κατέφρασεν, ὅπα τὰν πολέμου δὲ δόσιν
ἀκρόθινα διελὼν ἔθυε, καὶ πεντα-
ετηρίδ' ὅπως ἄρα ἔστασεν ἑορτὰν,
ἐν ὀλυμπιάδι πρῶτα, νικαφορίαισί τε
τίς δὴ ποταίνιόν γε λάχε στέφανον,
χείρεσσι ποσίν τε καὶ ἅρμασιν
ἀγώνιον, ἐν δόξᾳ θέμενος,
εὖχος ἔργῳ κάθελών.

στροφὴ. δ. κώ. η.

στάδιον μὲν ἀρίστευσεν εὐθήτονον
ποσσὶ τρέχων παῖς ὁ Λικυμνίου
Οἰωνὸς. ἧκεν δὲ Μιδέαθεν

στρατ

στρατὸν ἐλαύνων. ὁ δὲ πάλᾳ κυ-
δαίνων Εχεμος τέγεαν·
Δόρυκλος δὲ τέλος
πυγμᾶς φέρε, Τίρυνθα ναίων πόλιν.
ἐν ἵπποισι δὲ τέτρασιν

ἀντιστρ. κώ. η.

ἀπὸ Μαντινέας Σᾶμ' Αλιῤῥοθίου.
ἄκοντι Φράστωρ δ' ἔλασε σκοπόν.
μᾶκος δ' Ενικεὺς ἔδικε πέτρῳ
χέρα κυκλώσας ὑπὲρ ἅπαντας,
καὶ Συμμαχιᾳ θόρυβον
παρέθηξε μέγαν.
ἐν δ' ἕσπερον ἔφλεξεν εὐώπιδος
σελάνας ἐρατὸν φάος.

ἐπω. κώ. θ.

ἀείδετο δὲ πᾶν τέμενος τερπναῖ-
σι θαλίαις τ' ἐγκώμιον ἀμφὶ τρόπον.
ἀρχαῖσι δὲ προτέραις ἑπόμενοι καὶ νῦν,
ἐπωνυμίαν χάριν νίκας ἀγερώχου,
κελαδησόμεθα βροτὰν, ἐς πυρτάλαμον βέ-
ὀρσικτύπου Διός γ' ἐν ἅπαντι κράτει (λος

 αἴθω-

αἴθωνα κεραυνὸν ἀρηρότα.
χλιδῶσα δ' μολπὰ πρὸς κάλαμον
ἀντιάξει μελέων·

στροφὴ ε. κώ. η.

τὰ παρ' εὐκλέϊ Δίρκᾳ χρόνῳ μὲν φάνεν·
» ἀλλ' ὥστε παῖς ἐξ ἀλόχου πατρὶ
» ποθεινὸς, ἥκοντι νεότατι
» τὸ πάλιν ἤδη· μάλα δέ τοι θερ-
» μαίνει φιλότατι νόον·
» ἐπεὶ πλοῦτος ὁ λα-
» χὼν ποιμένα ἐπακτὸν ἀλλότριον
» θνάσκοντι συγερώτατος·

ἀντιστρο. κώ. η.

» καὶ ὅταν καλὰ ἔρξας ἀοιδᾶς ἄτερ,
» Αγησίδαμ' εἰς ἀΐδα σταθμὸν
» ἀνὴρ ἵκηται, κενεὰ πνεύσας,
» ἔπορε μόχθῳ βραχύ τι τερπνόν.
τὶν δ' ἁδυεπής τε λύρα,
γλυκύς τ' αὐλὸς ἀνα-
πάσσει χάριν. ἔχοντι δ' εὐρὺ κλέος
κόραι Πιερίδες Διός.

ἐπω.

ἐπω. κώ. θ.

ἐγὼ δὲ συνεφαπτόμενος σπουδᾷ,
κλυτὸν ἔθνος Λοκρῶν ἀμφέπεσον, μέλιτι
δ' εὐάνορα πόλιν καταβρέχων, παῖδ' ἐ-
ρατὸν Αρχεστράτου αἴνησα, τὸν εἶδον
κρατέοντα χερὸς ἀλκᾷ, βωμὸν παρ' ὀλύμ-
κεῖνον κατὰ χρόνον γ' ἰδέᾳ τε καλὸν, (πιον,
ὥρᾳ τε κεκραμένον. ἅ, τ' ἀναι-
δέα Γανυμήδει θάνατον ἄ-
λαλκε, σὺν Κυπρογενεῖ.

ΤΩ ΑΥΤΩ ΑΓΗΣΙΔΑ-
ΜΩ ΤΟΚΟΣ.

ΕΙΔΟΣ ΙΑ.

στροφὴ. α. κώ. ς.

Εστιν ἀνθρώποις ἀνέμων ὅτε πλείστα »
χρῆσις, ἔστιν δ' οὐρανίων ὑδάτων »
ὀμβρίων, παίδων νεφέλας. »
εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι, μελιγάρυες ὕ- »
ὑστέρων ἀρχαὶ λόγων τέλλεται, (μνοι, »

„ καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς.

ἀντιστρ. κώ. ϛ.

ἀφθόνατος δ' αἶνος ὀλυμπιονίκαις
τοῦτο ἄγκειται· τὰ μὲν ἁμετέρα
γλῶσσα ποιμαίνειν ἐθέλει.
ἐκ θεοῦ δ' ἀνὴρ, σοφαῖς ἀνθεῖ ἐσαεὶ πραπί-
ἴσθι νυῦ, Ἀρχεστράτου παῖ, τεᾶς (δεσσιν.
Αγησίδαμε πυγμαχίας ἕνεκεν,

ἐπω. κώ. ι.

κόσμον ἐπεὶ στεφάνῳ χρυσέας ἐλαίας
ἁδυμελῆ κελαδήσω, τῶν Επι-
ζεφυρίων Λωκρῶν γενεὰν ἀλέγων·
ἔνθα συγκωμάξατ'. ἐγγυάσομαι,
μή μιν ὦ μοῖσαι φυγόξενον στρατὸν,
μηδ' ἀπείρατον καλῶν,
ἀκρόσοφον δὲ καὶ αἱματὰν ἀφίξε-
„ σθαι· τὸ γὰρ
„ ἐμφυὲς, οὔτ' αἴθων ἀλώπηξ,
„ οὔτ' ἐρίβρομοι λέοντες
„ διαλλάξαιντο ἦθος.

ΕΡΓΟ-

ΕΙΔ. ΙΒ.

ΕΡΓΟΤΕΛΕΙ ΙΜΕΡΑΙΩ,

ΔΟΛΙΧΟΔΡΟΜΩ.

ΕΙΔΟΣ ΙΒ.

στρο. α. κώλ. θ.

Λίασομαι παῖ Ζηνὸς ἐλευθερίου,
Ἱμέρᾳ εὐρυσθενέ' ἀμ-
φὶ πόλει, σώτειρα Τύχα.
τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται ϑοαὶ »
νᾶες, ἐν χέρσῳ τε λαιψηροὶ πόλεμοι, »
καὶ γοραὶ βουλαφόροι· αἴγε μὲν ἀνδρῶν »
πόλλ' ἄνω, τὰ δ' αὖ κάτω »
ψεύδη μεταμώνια τέμνοι- »
σαι κυλίνδοντ' ἐλπίδες.

ἀντιστρ. κωλ. θ.

σύμβολον δ' οὔπω τὶς ὑπεξέφυγεν »
πιστὸν ἀμφὶ πράξιος ἀν- »
δρομέας εὗρεν ϑεόϑεν· »
τῶν δ' μελλόντων τετύφλωνται φρένες· »
πολλὰ δὲ ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν, »
ἔμπαλιν μὲν τέρψιν· ὁ δ' ἀνιαρᾶις »

„ ἀντικύρσαντες ζάλαις,
„ ἐσλὸν βαθὺ πήματος ἐν μι-
„ κρῷ πεδάμειψαν χρόνῳ.

ἐπω. κώ. ι.

υἱὲ Φιλάνορος, ἤτοι καὶ τεά κεν,
(ἐνδομάχας ἅτ' ἀλέκτωρ)
συγγόνῳ παρ' ἑστίᾳ,
ἀκλεὴς τιμὰ κατεφυλλορόησε ποδῶν,
εἰ μὴ στάσις ἀντιάνειρα
Κνωσίας ἄμερσε πάτρας.
νυῦ δ' Ολυμπίᾳ στεφανωσάμενος,
καὶ δὶς ἐν Πυθῶνι, Ισθμοῖτ' Εργοτελὲς,
θερμὰ νυμφᾶν λουτρὰ βαστάζεις, ὁμιλέ-
ων παρ' οἰκείαις ἀρούαις.

ΞΕΝΟΦΩΝΤΙ ΚΟΡΙΝΘΙΩ,
σταδιεῖ, δρόμῳ καὶ πεντάθλῳ.

ΕΙΔΟΣ ΙΓ.

στροφὴ α. κω. ια.

Τρισολυμπιονίκαν ἐπαινέων
οἶκον, ἅμερον ἀστοῖς,

ξένοι-

ξένοισι δὲ θεράποντα, γνώσομαι
τὰν ὀλβίαν Κορινθον, Ισθμίου
πρόθυρον Ποσειδᾶνος ἀγλαόκουρον.
ἐν τᾷδε δ' Εὐνομία ναίει, κασίγνη-
ταί τε, βάθρον πολίων,
ἀσφαλὴς δίκα, καὶ ὁμό-
τροπος εἰράνα, ταμίαι
ἀνδράσι πλούτου, χρύσεαι
παῖδες εὐβούλου Θέμιτος.

ἀντιστρ. κωλ. ια.

ἐθέλοντι δ' ἀλεξεῖν ὕβριν κόρου
ματέρα θρασύμυθον.
ἔχω καλά τε φράσαι, τόλμα τέ μοι
εὐθεῖα γλῶσσαν ὀρνύει λέγειν.
ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος.
ὔμμιν δὲ παῖδες Αλάτα, πολλὰ μὲν νι-
καφόρον ἀγλαΐαν
ὤπασάντ' ἄκραις ἀρεταῖς
ὑπερελθόντων ἱεροῖς
εἰν ἀέθλοισιν· πολλὰ δ' ἐν
καρδίαις ἀνδρῶν ἔβαλον.

ἐπω.

ἐπω. κώ. ια.

ὧραι πολυάνθεμοι ἀρ-
χαῖα σοφίσμαθ'. ἅπαν δ' εὑρόντος ἔργον
ταὶ Διωνύσσου πόθεν ἐξέφαναν
σὺν βοηλάτᾳ χάριτες
διθυράμβῳ; τίς δ' ἱππει-
οις ἐν ἔντεσσιν μέτρα,
ἢ θεῶν ναοῖσιν οἰω-
νῶν βασιλῆα δίδυ-
μον ἔθηκ'; ἐν δὲ μοῖσ' ἀδύπνοος,
ἐν δ' Αρης ἀνθεῖ νέων
σὺλίαις αἰχμαῖσιν ἀνδρῶν.

στροφὴ. β. κώ. ια.

ὕπατ' εὐρὺ ἀνάσσων Ολυμπίας,
ἀφθόνατος ἔπεσσι
γένοιο χρόνον ἅπαντα, Ζεῦ πάτερ·
καὶ τόνδε λαὸν ἀβλαβῆ νέμων,
ξενοφῶντος εὔθυμε δαίμονος ὗρον.
δέξαι δέ οἱ στεφάνων ἐγκώμιον τε-
θμὸν, τὸν ἄγει πεδίων
ἐκ Πίσας, πεντάθλῳ ἅμα

σταδίου

σταδίου νικῶν δρόμον. οὐκ
ἀντεβόλησεν τῶν ἀνὴρ
θνατὸς οὔπω τις πρότερον·

ἀντιστρο. κώ. ια.

δύο δ' αὐτὸν ἔρεψαν πλόκοι σελί-
νων ἐν Ισθμιάδεσσιν
φανέντα· Νέμεά τ' οὐκ ἀντιξοεῖ.
πατρὸς δὲ θεσσαλοῦ ἐπ' Αλφεοῦ
ῥεέθροισιν αἴγλα ποδῶν ἀνάκειται·
Πυθοῖ τ' ἔχει σταδίου τιμὰν διαύλου
θ', ἁλίῳ ἀμφ' ἑνί. μη-
νός τέ οἱ τωὐτοῦ, κραναάις
ἐν Αθάναισι, τρία μὲν
ἔργα ποδάρκης ἁμέρα
θῆκε κάλλιστ' ἀμφὶ κόμαις·

ἐπω. κώ. ια.

Ελλώτια δ' ἑπτάκις. ἐν
δ' ἀμφιάλοισι Ποσειδᾶνος τεθμοῖσι
Πτοιοδώρῳ σὺν πατρὶ, μακρότεραι
τερψιές θ' ἕψοντ', ἐρίτι-
μοί τ' ἀοιδαί. ὅσσατ' ἐν Δελ-

φοῖσιν

φοῖσιν ἀριστεύσατε
ἠδὲ χόρτοις ἐν λέοντος;
δηρίομαι πόλεσιν
περὶ πλήθει καλῶν. ὡς μὰν σαφὲς
οὐκ ἂν εἰδείην λέγειν
ποντιᾶν ψάφων ἀριθμόν.

στροφὴ γ. κώ. ια.

" ἕπεται δ' ἐν ἑκάστῳ μέτρον· νοῆ-
" σαι δὲ, καιρὸς ἄριστος.
ἐγὼ δὲ ἴδιος ἐν κοινῷ σταλεὶς,
μῆτίν τε γαρύων παλαιγόνων,
πόλεμόν τ' ἐν ἡρωΐαις ἀρεταῖσιν,
οὐ ψεύσομ' ἀμφὶ Κορίνθω. Σίσυφον μὲν
πυκνότατον παλάμαις
ὡς θεὸν, καὶ τὰν πατρὸς ἀν-
τία Μήδειαν θεμέναν
τὸν γάμον αὐτᾷ, ναῒ σώ-
τειραν Ἀργοῖ καὶ προπόλοις.

ἀντιστρ. κώ. ια.

τὰ δὲ, καὶ ποτ' ἐν ἀλκᾷ πρὸ Δαρδάνου
τειχέων ἐδόκησαν

ἐπ'

ἐπ' ἀμφότερα μαχᾶν τέμνειν τέλος·
τοὶ μὲν, γένει φίλῳ σὺν Ατρέως
Ελένᾳν κομίζοντες· οἱ δ' ἀπὸ πάμπαν
εἴργοντες. ἐκ Λυκίας δὲ Γλαῦκον ἐλθόν-
τα τρόμεον Δαναοί·
τοῖσι μὲν ἐξεύχετ' ἐν ἄ-
στεϊ Πειράνας, σφετέρου
μὲν πατρὸς ἀρχὰν, καὶ βαθὺν
κλᾶρον ἔμμεν καὶ μέγαρον.

ἐπω. κώ. ια.

ὃς τᾶς ὀφιώδεος ὑ-
όν ποτε Γοργόνος ἦ πόλλ' ἀμφὶ κρουνοῖς
Πάγασον ζεῦξαι ποθέων ἔπαθε,
πρίν γε οἱ χρυσάμπυκα κού-
ρα χαλινὸν Παλλὰς ἤνεγ-
κ'. ἐξ ὀνείρου δ' αὐτίκα
ἦν ὕπαρ'· φώνασε δ', εὕδεις
Αἰολίδα βασιλεῦ;
ἄγε φίλτρον τόδ' ἱππεῖον δέκευ,
καὶ δαμαίῳ μιν, θύων
ταῦρον ἀργὸν, πατρὶ δεῖξον.

τροφὴ

στροφὴ δ. κώ. ια.

κυαναιγὶς ἐν ὄρφνᾳ κνώσσον τί οἱ
παρθένος τόσσα εἰπεῖν
ἔδοξεν. ἀνὰ δ' ἔπαλτ' ὀρθῷ ποδὶ·
παρκείμενον δὲ συλλαβὼν τέρας,
ἐπιχώριον μάντιν ἄσμενος εὗρεν·
δεῖξέν τε Κοιρανίδᾳ πᾶσαν τελευτὰν
πράγματος· ὥς ἀνὰ βω-
μῷ θεᾶς κοιτάξατο νύ-
κτ' ἀπ' ἐκείνου χρήσιος, ὅ-
πως τέ οἱ αὐτὰ Ζηνὸς ἐγ-
χεικεραύνον παῖς ἔπορε

ἀντιστρ. κώ. ια.

δαμασίφρονα χρυσόν. ἐνυπνίῳ
δ' ὡς τάχιστα πιθέσθαι
κελήσατό μιν· ὅταν δ' εὐρυσθενεῖ
καρταίποδ' ἀνερύῃ γεαόχῳ,
θέμεν ἱππείᾳ βωμὸν εὐθὺς Αθάνα.
» πληροῖ δὲ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον,
» καὶ παρὰ ἐλπίδα κού-
» φαν κτίσιν γ'. ἤτοι καὶ ὁ καρ-

τερὸς

τερὸς ὁρμαίνων ἔλαβε
Βελλεροφόντας, φάρμακον
πραῢ τείνων ἀμφὶ γένυ,

ἐπω. κώ. ια.

ἵππον πτερόεντ'. ἀναβὰς
δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιξε.
σὺν δ' ἐκείνῳ καί ποτ' Αμαζονίδων
αἰθέρος ψυχρᾶς ἀπὸ κόλ-
πων ἐρύμου, τοζόταν βάλ-
λων γυναικεῖον στρατὸν,
καὶ Χίμαιραν πῦρ πνέοισαν,
καὶ Σολύμοις ἔπεφνε.
Διασιγάσομαι αὐτῷ μόρον
τὸν δ' ἐν Οὐλύμπῳ φάτναι
Ζηνὸς ἀρχεῖαι δέχονται.

στροφὴ. ε. κώ. ια.

ἐμὲ δ' εὐθὺν ἀκόντων ἱέντα ῥόμ-
βον, παρὰ σκοπὸν οὐ χρὴ
τὰ πολλὰ βέλεα καρτύνειν χεροῖν·
Μοῖσαις γὰρ ἀγλαοθρόνοις ἔκων,
Ολιγαιθίδαισίν τ' ἔβαν ἐπίκουρος,

Ἰσθμοῖ, τό τ' ἐν Νεμέᾳ· παύρῳ δ' ἔπει δή-
σω φανέρ' ἀθρό'. ἀλα-
θής τέ μοι ἔξεργε ἑπέσ-
σεται. ἑξηκοντάκις γὰρ
ἀμφοτέρωθέν γ' ἀδύγλωσ-
σος βοὰ κάρυκος ἐσλός.
ἀντιστρ. κώ. ια.
τὰ δ' Ὀλυμπίᾳ αὐτῶν ἔοικεν ἤ-
δη πάροιθε λελέχθαι·
τότ' ἐσόμενα τότ' αὖ φαίεν σαφές.
„ νῦν δ' ἔλπομαι μὲν, ἐν θεῷ γε μὰν
„ τέλος. εἰ δὲ δαίμων ἠνέθλιος ἔρπει,
Διΐ τοῦτ' ἐναλίῳ τ' ἐκδώσομεν πρᾶσ-
σειν. τὰ δ' ἐπ' ὀφρύϊ Παρ-
ναασίᾳ, ἀμφ' Ἀργᾷ τε, ὅ-
σα κἀν Θήβαις, ὅσα τε
Ἀρκάσ' ἀνάσσων, μαρτυρή-
σει Λυκαίου βωμὸς ἄναξ,
ἐπῳ. κώ. ια.
Πελλάνα τε κἀν Σικυῶνι,
κἀν Μέγαρ', Αἰακιδᾶν τ' εὐεργὲς ἄλσος
ἀ, τ'

ΕΙΔΟΣ ΙΔ.

ἅ, τ' Ελευσὶς, καὶ λιπαρὰ Μαραθὼν,
ταίθ' ὑπ' Αἴτνας ὑψιλόφου
καλλίπλουτοι πόλιες, ἅ, τ' Εὔ-
βοια· καὶ πᾶσαν κατὰ
ἑλλάδ' εὑρήσεις ἐρευνῶν
μάσσον' ἢ ὡς ἰδέμεν.
ἀλλὰ κούφοισιν ἐκνεῦσαι ποσὶ
Ζεῦ τέλει, αἰδῶ διδοὺς,
καὶ τύχαν τερπνῶν γλυκεῖαν.

ΑΣΩΠΙΧΩ ΟΡΧΟΜΕΝΙΩ,
παιδὶ Κλεοδάμου, σταδιεῖ.

ΕΙΔΟΣ ΙΔ.

εἶδος μονοστροφικὸν, κω. ιη. καὶ ιζ.

Καφησίων ὑδάτων λαχοῖσαι,
αἵτε ναίετε καλλίπωλον ἕδραν,
ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι
Χάριτες Ορχομενοῦ,
παλαιγόνων Μινυᾶν ἐπίσκοποι,
κλῦτ', ἐπεὶ εὔχομαι.

σὺν γὰρ ὑμῖν τὰ τερπνὰ καὶ τὰ γλυκέα
γίνεται πάντα βροτοῖς,
εἰ σόφος, εἰ καλὸς, εἴ τις ἀγλαὸς
„ ἀνὴρ. οὔτε γὰρ θεοὶ
„ σεμνᾶν Χαρίτων ἄτερ
„ κοιρανέοντι χοροὺς,
„ οὔτε δαῖτας· ἀλλὰ πάντων
„ ταμίαι ἔργων ἐν οὐρανῷ,
„ χρυσότοξον θέμεναι
„ παρὰ Πύθιον Απόλλωνα θρόνους,
„ ἀέναον σέβοντι πατρὸς
„ Ολυμπίοιο τιμάν.

τὰ ιζ. αὐτοῦ κῶλα.

πότνι' Αγλαΐα, φιλησίμολπέ
τ' Εὐφροσύνα, θεῶν κρατίστου παῖδες.
ἐπάκοοι νυῦ, Θαλία τε ἐ-
ρασίμολπε, ἰδοῖσα τόνδε
κῶμον ἐπ' εὐμενεῖ τύχᾳ,
κοῦφα βιβῶντα. Λυδίῳ γὰρ
Ασώπιχον ἐν τρόπῳ,
ἐν μελέταις τε ἀείδων

μόλον,

μόλον, οὕνεκα ὀλυμπιόνικος ἁ Μινύεια
σεῦ ἕκατι. μελαντειχέα δόμον
Φερσεφόνας ἴθι Αχοῖ,
πατρὶ κλυτὰν φέροισ' ἀγ-
γελίαν, Κλεόδαμον ὄφρ' ἰδοῖσ', ὑ-
ὸν, εἴπῃς ὅτι οἱ νέαν
κόλποισι παρ' εὐδόξοιο Πίσας,
ἐστεφάνωσε κυδίμων ἀέθλων
πτεροῖσι χαίταν.

ΤΕΛΟΣ.

ΕΚ ΤΩΝ ΤΟΥ ΠΛΟΥΤΑΡΧΟΥ.

ΑΝαγνῶναι μὲν οὖν παντάπασι τὴν θειότητα τῆς ἀρετῆς, ἀνόσιον καὶ ἀγενὲς· οὐρανῷ δὲ μιγνύειν γῆν, ἀβέλτερον. ἐατέον οὖν ἐχομένης τῆς ἀσφαλείας κατὰ Πίνδαρον, ὡς σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ, ζῶον δ' ἔτι λείπεται αἰῶνος εἴδωλον. τὸ γάρ ἐστι μόνον ἐκ θεῶν. ἥκει γὰρ ἔκειθεν, ἐκεῖ δ' ἄνεισιν, οὐ μετὰ σώματος, ἀλλ' ἐὰν ὅτι μάλιστα σώματος ἀπαλλαγῇ καὶ διακριθῇ, καὶ γένηται καθαρὸν παντάπασι καὶ ἄσαρκον καὶ ἁγνὸν. αὕτη γὰρ ψυχὴ ξηρὴ ἀρίστη καθ' Ηράκλειτον. ὥσπερ ἀστραπὴ νέφους διαπταμένη τοῦ σώματος, ἡ δὲ σώματι πεφυρμένη καὶ περίπλεως σώματος οἷον ἀναθυμίασις ἐμβριθὴς καὶ ὁμιχλώδης, δυσέξαπτός ἐστι καὶ δυσανακόμιστος.

ΕΚ

ΕΚ ΤΩΝ ΤΟΥ

Στοβαίου.

εὖ δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνὴρ.
οἰήπερ φύλλων γενεὴ, τοίηδε καὶ ἀνδρῶν,
παῦροί μιν θνητῶν οὔασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο. πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ
ἀνδρῶν, ἥτε νέων στήθεσιν ἐμφύεται.
θνητῶν δ' ὄφρα τὶς ἄνθος ἔχῃ πολυήρατον ἥβης,
κοῦφον ἔχων θυμὸν πόλλ' ἀτέλεστα νοεῖ.
οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασκέμεν, οὐδὲ θανεῖσθαι,
οὐδ' ὑγιὴς ὅταν ᾖ φροντίδ' ἔχει καμάτου.
νηπίοις ταύτη κεῖται νόος, οὐδὲ ἴσασιν,
ὡς χρόνος ἐσθ' ἥβης, καὶ βιότου ὀλίγος
θητοῖς. ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρ-
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος. (μα


Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn1010349678/phys_0116


Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn1010349678/phys_0118



Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn1010349678/phys_0120

Sammelband
griech.
Schriftsteller
Rostock
1583-1606.

C c
914 1-7

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn1010349678/phys_0121

τερὸς ὁρμαίνων ἔλαβε
Βελλεροφόντας, φάρμακον
πραῦ τείνων ἀμφὶ γένυ,

ἐπω. κώ. ια.

ἵππον πτερόεντ'. ἀναβὰς
δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπ
σὺν δ' ἐκείνῳ καί ποτ' Αμαζονί
αἰθέρος ψυχρᾶς ἀπὸ κόλ-
πων ἐρύμου, τοζόταν βάλ-
λων γυναικεῖον στρατὸν,
καὶ Χίμαιραν πῦρ πνέοισαν,
καὶ Σολύμοις ἔπεφνε.
Διασιγάσομαι αὐτῷ μόρον
τὸν δ' ἐν Οὐλύμπῳ φάτναι
Ζηνὸς ἀρχεῖαι δέχονται.

στροφὴ. ε. κώ. ια.

ἐμὲ δ' εὐθὺν ἀκόντων ἱέντα ῥόμ
βον, παρὰ σκοπὸν οὐ χρὴ
τὰ πολλὰ βέλεα καρτύνειν χεροῖ
Μοῖσαις γὰρ ἀγλαοθρόνοις ἔκων,
Ολιγαιθίδαισίν τ' ἔβαν ἐπίκουρ